λουν. Διανύω, αἰτιατικῇ. οὕτω τὴν ὁδὸν τὸ ἑξῆς νεαροὶ διανύσωμεν. Διαπίπτω, γενικῇ. τοῦ παραδείσου διέπεσον. Διαπιστῶ, δοτικῇ. εἴ τις ἐμοὶ διαπιστεῖ. Διαπλέω, αἰτιατικῇ. διέπλει τὴν τοῦ βίου θάλασσαν. Διαπτύω, αἰτιατικῇ. μὴ διαπτύσῃς τοῦ ἐξορκισμοῦ θεραπείαν. Διασείω, αἰτιατικῇ. διέσεισε τὴν ἐκκλησίαν ὡς πολύ. Διασκεδάζω, αἰτιατικῇ. κύριος διασκεδάζει βουλὰς ἐθνῶν. Διασπείρω, αἰτιατικῇ. μὴ διασπείρωμεν τὰ πρόβατα. Διαφεύγω, αἰτιατικῇ. ἅπαν βλαβερὸν διαφύγωμεν. Διδάσκω, αἰτιατικῇ. καὶ σὺ περὶ τῆς γενεαλογίας διδάσκεις τοὺς γέροντας. Δίδωμι, δοτικῇ. δίδωμι ὑμῖν τὴν ἐξουσίαν. Διηγοῦμαι, δοτικῇ. διηγήσαντό μοι παράνομοι ἀδολεσχίας. Δικαιῶ, αἰτιατικῇ. οἱ δικαιοῦντες τὸν ἀσεβῆ. Διορίζω, δοτικῇ. ὁ κύριος ἡμῖν διωρίσατο. Διχοτομῶ, αἰτιατικῇ. διχοτομοῦσι τὸν πιστὸν ἀπὸ τοῦ ἀπίστου. Διψῶ, γενικῇ. διψᾷ τοῦ διψᾶσθαι.

Δ πρὸ τοῦ Ο.

Δοκιμάζω, αἰτιατικῇ. δοκιμαζέτω ἕκαστος ἑαυτόν. Δοκῶ, δοτικῇ. τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ. Δοξάζω, αἰτιατικῇ. δοξάζω τὸν πα-

πρὸς

πρὸς καὶ τὴν ὑπὲρ τὴν δύναμιν. Δορυφορῶ, δο-
τικῇ. δορυφορούμενον τάξεσιν. Δουλεύω, δο-
τικῇ. δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ.

Δ πρὸ τοῦ Ρ.

Δράττομαι, γενικῇ. δράξασθε παιδείας, μή-
ποτε ὀργισθῇ κύριος.

Δ πρὸ τοῦ Υ.

Δυσκολαίνω, αἰτιατικῇ. τὸν μὲν ἀποδέχε-
σθαι, τὸν δὲ δυσκολαίνειν. Δυσχεραίνω, δο-
τικῇ. ἐδυσχέραινα τῇ τῇ ἀδικίᾳ σου. Δυ-
σωπῶ, αἰτιατικῇ. δυσώπησον τὸν ἐλεήμονα
θεόν.

Δ πρὸ τοῦ Ω.

Δωροῦμαι, δοτικῇ. δωρούμενοι ἡμῖν τὸ μέλι.

ΑΡΧΗ ΤΟΥ Ε.

ΠΡΟ ΤΟΥ Α.



Ἀλῶ, γενικῇ. φόνου ἑάλω.

Ε πρὸ τοῦ Γ.

Ἐγγίζω, δοτικῇ. ἐγγίσατε ὄρεσιν
αἰωνίοις. Ἐγκαλοῦμαι, αἰτιατικῇ. τὰς αἰ-
τίας σχεδὸν ἐγκαλούμεθα. Ἐγκαλῶ, δοτικῇ.
ὑμῖν ἐγκαλέσωμεν τὰ δέοντα. Ἐγκωμιά-
ζω, αἰτιατικῇ. πολλοὶ μὲν ἐγκωμιάζοντες τὸ
δίκαιον. Ἐγχειρῶ, δοτικῇ. ἔμελλε τοῖς πα-

ρὰ Νεοπτολέμου ἐγχείας λόγοις.

Ε πρὸ τοῦ Κ.

Ἐκβάλλω, γενικῇ. ἐξεβλήθη παραδείσου ὁ Ἀδάμ. ἔστι καὶ αἰτιατικῇ. ἐξέβαλλον αὐτὸν ἔξω. Ἐκβοῶ, δοτικῇ. τρανῶς ὁ κῆρυξ ἐκβοᾶτε τῇ κτήσει. Ἐκκαίω, αἰτιατικῇ. ἔκκαυσον τὴν ὀργήν σου. Ἐκτείνω, αἰτιατικῇ. ὁ ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν. Ἐκτραγῳδῶ, αἰτιατικῇ. τίς ἂν ἐκτραγῳδήσει πάντα. Ἐκφεύγω, αἰτιατικῇ. τὸν γεωργῶν πόνον ἐκφεύγων.

Ε πρὸ τοῦ Λ.

Ἐλέγχω, αἰτιατικῇ. ἔλεγξον σοφόν, καὶ ἀγαπήσει σε. Ἐλευθερῶ, αἰτιατικῇ. ἐλευθέρωσον ἡμᾶς. Ἐλεῶ, αἰτιατικῇ. ἐλέησον ἡμᾶς κύριε. Ἕλκω συντάσσεται αἰτιατικῇ. καὶ ὅρα τὴν σύνταξιν, ἐν ἣ τρισὶ πτώσεσι χρᾶται, αἰτιατικῇ, δοτικῇ, καὶ γενικῇ. ἀλλὰ τὸ μὲν πρόσωπον αἰτιατικῇ συντάσσεται, τὸ δὲ πῶς, γενικῇ, νοουμένης ἔξωθεν τῆς ἀπό. τὸ δὲ ὄργανον δὴ οὗ τόδε γίνεται, δοτικῇ. ὡς φέρε εἰπεῖν ἐπὶ ὑποδείγματος, ἕλκω σε ἀπὸ τῆς τριχὸς ἐν τῇ χειρί. ἕλκω σε τῆς τριχὸς τῇ χειρί. Ἐλπίζω, αἰτιατικῇ. ὁ ἐλπίζων ἐπί σε, οὐκ ἀπόλλυται.

Ε πρὸ τοῦ Μ.

Ἐμβλέπω, δοτικῇ. ὁ ἐμβλέψας γυναικί.

Ε πρὸ τοῦ Ν.

Ἐνδύομαι, αἰτιατικῇ. οἱ ἱερεῖς ἐνδύσασθε δικαιοσύνην. Ἐνθυμοῦμαι, γενικῇ. μήπω τὸν κατὰ Βίον ἐνθυμοῦ. Ἐννοῶ, αἰτιατικῇ. ἐννοῶ τὴν ἡμέραν ἐκείνην καὶ τὴν ὥραν. Ἐνοῦμαι, δοτικῇ. θεὸς θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος. Ἐντέλλομαι, δοτικῇ. ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Ἐντρυφῶ, γενικῇ. τῶν σῶν χαρισμάτων ἀεὶ ἐντρυφῶντες. Ἐνωτίζω, αἰτιατικῇ. ἐνώτισαι ὁ θεὸς τὴν προσευχήν μου.

Ε πρὸ τοῦ Ξ.

Ἐξαγοράζω, αἰτιατικῇ. ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν. Ἐξηγοῦμαι, δοτικῇ. ἃ δὲ ἑκατέροις ἐξηγῆσθον. Ἐξίσταμαι, γενικῇ. οὔτε τοῦ πατρὸς ἐκστάντος διὰ ἀγεννησίας. Ἐξουδενῶ, αἰτιατικῇ. ἐξουδένωσας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Ἐξουσιάζω, γενικῇ. ὁ ζώντων καὶ νεκρῶν ἐξουσιάζων θεός.

Ε πρὸ τοῦ Ο.

Ἑορτάζω, αἰτιατικῇ. τὴν πανήγυριν ἑορτάσωμεν.

Ε πρὸ

Ε πρὸ τοῦ Π.

Ἐπιβαίνω, γενικῇ. ἐπέβην τοῦ διδασκαλικοῦ θρόνου. Ἐπιβλέπω, αἰτιατικῇ. ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με. Ἐπιβοῶμαι σε, ἀντὶ τοῦ ἱκετεύω, αἰτιατικῇ. ἐπιβοώμεθα πάντες σε τὴν ἀληθῆ μητέρα. Ἐπιθυμῶ, γενικῇ. τῶν ἀτόπων ἐπιθυμοῦντες. Ἐπίσης, δοτικῇ. ἐπίσης ἡλίῳ γέγονεν ἡ φαῦσις αὐτοῦ.

Ε πρὸ τοῦ Τ.

Ἐτάζω, αἰτιατικῇ. ἐτάζων καρδίας καὶ νεφρούς. Ἐτοιμάζω, αἰτιατικῇ. ἑτοίμασον τὴν ψυχήν σου εἰς θάνατον. Ἔτυχον, γενικῇ. ἔτυχον τῶν οὐρανίων γερῶν οἱ ἅγιοι.

Ε πρὸ τοῦ Υ.

Εὐεργετῶ, αἰτιατικῇ. θανὼν ὑμᾶς ἅπαντας εὐεργέτησε χριστός. Εὐθύνω, γενικῇ. εὐθύνω διὰ ἐμφορείας τὸ χάρισμα. Εὐλογῶ, αἰτιατικῇ, εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ. Εὑρίσκω, αἰτιατικῇ. εὑρίσκει φίλιππος τὸν ναθαναῆλον. Εὐφραίνομαι, γενικῇ. εὐφραίνεται τῶν ἀγαθῶν. Εὐφραίνω, αἰτιατικῇ. εὐφραίνειν τὴν καρδίαν. Εὐχαριστῶ, δοτικῇ. εὐχαριστήσωμεν τῷ κυρίῳ. Εὔχομαι, δοτικῇ. ὁ κύριος εὐχόμενος τοῖς θεοῖς.

Ε πρὸ τοῦ Χ.

Ἐχθραίνω, δοτικῇ. τοὺς ἐχθραίνοντάς μοι ματαίως ἀγαπῶ. Ἔχω τὸ κέκτημαι, καὶ κρατῶ, αἰτιατικῇ. ἔχω τὴν βίβλον σου. Ἔχω δὲ τὸ δύναμαι, ἀπαρεμφάτῳ. ἔχω ποιεῖν, ἀντὶ τοῦ δύναμαι. Ἔχω δὲ τὸ διάκειμαι, ἐπιρρήματι καὶ γενικῇ. εὖ ἔχω, καὶ οὕτω γνώμης ἔχω, καὶ κακῶς ἔχω τῆς κεφαλῆς, καὶ τὴν κεφαλήν.

Ἔχομαι τὸ συμπρόσειμι, γενικῇ. τῆς τοῦ θεοῦ λατρείας ἔχομαι. καὶ τῶν ἐγκαινίων ἔχεται. εὑρίσκεται δὲ καὶ μετὰ γενικῆς, ἀντὶ τοῦ ἅπτομαι. οἷον ἔχομαί σου.

ΑΡΧΗ ΤΟΥ Ζ.

ΠΡΟ ΤΟΥ Α.



Ζέω, δοτικῇ. τῷ πνεύματι ζέοντες, τῷ κυρίῳ δουλεύοντες.

Ζ πρὸ τοῦ Η.

Ζηλῶ, αἰτιατικῇ. ἐζήλωσε Πέτρον καὶ Παῦλον. καὶ δοτικῇ. ἐζήλωσα τῷ κυρίῳ. Ζημιῶ, αἰτιατικῇ. ὅπως μὴ τὰ μέγιστα ζημιωθῇς.

Ζ πρὸ τοῦ Ω.

Ζῶ, δοτικῇ. ταχέως πέμψον μοι πρὸς θεὸν ᾧ ζῶ. Ζωγραφῶ, αἰτιατικῇ. χριστοῦ τὴν ἀνάστασιν ἐζωγράφησα. Ζωγρῶ, αἰτιατικῇ. ἐ

πο

του ζωγρήσειε τὸ γλυκύτατον. Ζωννύω, αἰτια τικῇ. ὁ θεὸς περιζωννύων με δύναμιν. Ζωογο νῶ, αἰτιατικῇ. ζωογονῶν τὸν κύκλον τῆς ἀρετῆς.
Ζωοποιῶ, αἰτιατικῇ. καὶ ζωοποιοῦντα νεκρούς.

ΑΡΧΗ ΤΟΥ Η.

ΠΡΟ ΤΟΥ Γ.


Ηγοῦ, γενικῇ. πρόελθε καὶ καθηγοῦ τοῦ σοῦ ταμείου.

Η πρὸ τοῦ Δ.

Ηδομαι, γενικῇ. ὃς ἥδεται τοῦ ψάλλειν.
Αἰδοῦμαι, ὁ ἀὴρ ἠδέσθη, αἰτιατικῇ. τῇ σταύρωσιν ὁ ἥλιος ἠδέσθη.

Η πρὸ τοῦ Κ.

Ηκω, αἰτιατικῇ. ἥκω δῶρον φέρων σοι.

Η πρὸ τοῦ Λ.

Ηλω, γενικῇ. ταύτης ὁ μέγας ἥλω Κυπριανός.

Η πρὸ τοῦ Μ.

Ημβρῶ, αἰτιατικῇ. ἂν τοῦτο ποιήσῃς, ἡμβρώσῃς οὐρανόν τε καὶ γῆν.

Η πρὸ τοῦ Ρ.

Ηρετίσατο, αἰτιατικῇ. ἠρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτοῦ.

Η πρὸ τοῦ Τ.

Ηττημαι, γενικῇ. ὡς οὐδενὸς ἥττωντο οἱ γυναῖοι. καὶ δοτικῇ. ἥττημαι πάθεσι.

Η πρὸ

Η πρὸ τοῦ Υ.

Ἥψατο, γενικῇ. ἥψατό μου τίς. ἥψατο δὲ τὸ ἔβλαψεν, αἰτιατικῇ. ἧψαν αὐτὴν, καὶ γράφεται διὰ τοῦ ι.

ἈΡΧῊ ΤΟΥ͂ Θ.

ΠΡῸ ΤΟΥ͂ Α.



Θάλπω, αἰτιατικῇ. ἔθαλπέ τις γεωργὸς ἐν κόλποις ὄφιν. Θάλπω, αἰτιατικῇ. ἱερουσαλὴμ θάλψον τοὺς ἑαυτῆς νέους. Θαῤῥῶ, δοτικῇ. εἰ πρὸς τοὺς λόγους μὴ σφόδρα τοῖς λόγοις θαῤῥεῖτε. Θαυμάζω. αἰτιατικῇ. μὴ θαυμάσῃς μηδὲν, ὃ μὴ παραμένει. καὶ Ξενοφῶν. ἐθαύμασα δὲ σου τὴν τῆς σοφίας δύναμιν.

Θ πρὸ τοῦ Ε.

Θεολογῶ, αἰτιατικῇ. θεολογεῖ τὸν πατέρα καὶ υἱόν. Θεραπεύω, αἰτιατικῇ. ὑπὸ θεὶς τὰς χεῖρας ἐθεράπευσεν αὐτούς. Θερίζω, αἰτιατικῇ. τοσοῦτον θερίσαντες, ὅσον ἐσπείραμεν. Θέω τὸ τρέχω, αἰτιατικῇ. πάντες λεωφόρον ἔθεον.

Θ πρὸ τοῦ Η.

Θήγω τὸ ἀκονῶ, αἰτιατικῇ. καὶ θήγω τὸ προσεγγίζω, γενικῇ. Θησαυρίζω, αἰτιατικῇ. μὴ θησαυρίσητε θησαυροὺς ἐπὶ τῆς γῆς.

Θ πρὸ τοῦ Ρ.

Θρηνῶ, αἰτιατικῇ. θρηνεῖ αἴγυπτος τὰ πρωτότοκα. Θρησκεύω, δοτικῇ. οὕτως ἡ δωδώνη θρησκεύει θεῷ. Θριαμβεύω. αἰτιατικῇ. γνῶ σαφῶς τὸν ἐχθρὸν ἐθριαμβεύσατε.

Θ πρὸ τοῦ Υ.

Θύω, δοτικῇ. θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως. καὶ αἰτιατικῇ. θύσατε θυσίαν δικαιοσύνης.

Θ πρὸ τοῦ Ω.

Θωπεύω, αἰτιατικῇ. πολλὰ οὖν ἴστω θωπεύσας.

ΑΡΧΗ ΤΟΥ Ι.

ΠΡΟ ΤΟΥ Α.



Ατρεύω, αἰτιατικῇ. ἡμᾶς αὐτοὺς ἰατρεύσωμεν.

Ι πρὸ τοῦ Δ.

Ἱδρύω, αἰτιατικῇ. καὶ ἄγαλμα ἱδρυσάμενος.

Ι πρὸ τοῦ Ε.

Ἱερουργῶ, αἰτιατικῇ. ἱερουργήσας ὡς ἄνθρωπος ἑαυτόν.

Ι πρὸ τοῦ Κ.

Ἱκετεύω, αἰτιατικῇ, σὲ ἱκετεύομεν πρέσβευε δέσποινα.

Ι πρὸ τοῦ Λ.

Ἱλάσθητι, δοτικῇ. ἱλάσθητί μοι σωτὴρ, πολλαὶ γὰρ αἱ ἀνομίαι μου.

Ι πρὸ τοῦ Σ.

Ἵστημι, αἰτιατικῇ. ὅσον ἐπ' αὐτῷ τὴν νόσον ἔστησεν. Ἰσχύω, αἰτιατικῇ. καὶ ταῦτα ἴσχυσεν ἡ κακία. Ἴσχω, αἰτιατικῇ. ἴσχει τὴν θρῆνον ὁ ἐλέφας. Ἰῶ, αἰτιατικῇ. ἰᾶσαί με κύριε τὸν ἁμαρτωλόν.

ΑΡΧΗ ΤΟΥ Κ.

ΠΡΟ ΤΟΥ Α.



ΚΑθαίρω, αἰτιατικῇ. καὶ δογμάτων ἀπαιδευσίαν ἐκάθηρε. Καθυβρίζω, αἰτιατικῇ. μὴ καθύβριζε τὸν ἄνδρα. Καθυλακτῶ, γενικῇ. μὴ καθυλακτεῖν τῶν πέλας. Καινοτομῶ, αἰτιατικῇ. τοὺς καινοτομοῦντας φύσιν θεοῦ. Καταβάλλω, αἰτιατικῇ. τοὺς προφήτας κατεβαλῶ τῇ αἰσχύνῃ.

Καταβοῶ, γενικῇ. τῆς ζημίας κατεβόων ὥς τι γαννίδος.

Καταδικάζω, γενικῇ. αἱ γυναῖκες κατεδίκαζον αὐτόν. καὶ αἰτιατικῇ. σταυρωθῆναι σὲ κατεδίκασαν. Κατακολουθῶ, δοτικῇ. τῷ Χριστῷ κατηκολούθησαν αἵματι. Κατακρίνω,

 αἰτιατικῇ,

αἰτιατικῇ. τοὺς πρεσβύτας διὰ αἰσχύνης κατέκρινον. Καταλαλῶ, γενικῇ. καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου καταλαλεῖς. Καταληρῶ, γενικῇ. καταληρῶν διὰ ἀθεότητός σου. Καταμανθάνω, αἰτιατικῇ. καταμαθόντες τὸν ἀπατηλόν. Καταμαρτυρῶ, γενικῇ. οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι. Καταπτύω, γενικῇ. ἰνδάλματος χρυσοῦ κατέπτυσαν. Καταρτίζω, αἰτιατικῇ. καθαρτίσαι μοι τὸν λόγον.

Κατασείω, αἰτιατικῇ. μηχανήμασι κατασέεται τὸ ὁμοούσιον. Κατασκηνῶ, αἰτιατικῇ. εἰς τόπον χλόης κατασκηνούμενοι. Κατισχύω, γενικῇ. κατισχύει τῶν ἐχθρῶν. Κατατολμῶ, γενικῇ. ἁμαρτημάτων κατατολμῶ. Κατατρυφῶ, γενικῇ. κατατρύφησον τοῦ κυρίου, καὶ δώσει. Καταφρονῶ, γενικῇ. Ἰησοῦς καθαίρεται, καὶ σὺ καταφρονεῖς τοῦ βαπτίσματος. Κατέγνωσαν, ἀντὶ τοῦ κατενόησαν, αἰτιατικῇ. Κατηγορῶ δὲ τὸ δεικνύω, αἰτιατικῇ. λαγὼς κατηγορεῖ τὸν αὐτοῦ φωλεόν. Κατηγορῶ, γενικῇ. κατηγορεῖ τῆς γραφῆς. Καλλωπίζομαι, δοτικῇ. τοῖς πράγμασι καλλωπιζόμενος. Καπηλεύω, αἰτιατικῇ. καπηλεύων ὁ δεινὸς Ἰούδας τὸν φιλόθεον. Καρποφορῶ, δοτικῇ. ἐκ τῶν φυόντων καρποφορεῖ θεῷ.

θεῷ. Καρτερῶ, αἰτιατικῇ. καρτερῶ τοὺς βασάνους.

Κ πρὸ τοῦ Η.

Κηρύττω, αἰτιατικῇ. δημοσίᾳ τὸν ἐκήρυττε.

Κ πρὸ τοῦ Ο.

Κοινωνῶ, γενικῇ. κοινώνηκεν αἵματος.

Κ πρὸ τοῦ Ρ.

Κράζω, δοτικῇ. κράζω σοι χριστὲ σωτὴρ, ὡς ὁ ἄσωτος ὑιός. Κρίνω, αἰτιατικῇ. κρίνον κύριε δίκαια.

Κ πρὸ τοῦ Τ.

Κτείνω, αἰτιατικῇ. ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλούς.

Κ πρὸ τοῦ Ω.

Κωλύω, αἰτιατικῇ. τὴν κωλύουσαν ῥομφαίαν.

ΑΡΧΗ ΤΟΥ Λ.

ΠΡΟ ΤΟΥ Α



Λαλῶ, δοτικῇ. λαλῆσον τοῖς υἱοῖς ἰσραήλ. Λαμπρύνομαι, δοτικῇ. λαμπρυνθῶμαι τῇ πανηγύρει.

Λατρεύω, δοτικῇ. λατρεύων αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. Λάχω, αἰτιατικῇ. δίεπων τὴν λαχοῦσαν αὐτὸν ἐκκλησίαν. συντάσσεται δὲ τὸ λάχω καὶ γενικῇ. καὶ Ξενοφῶν, ἐπὰν δὲ ἔλαχον τελέως τῆς ἀρετῆς, οὐδέως

ἐνήλλαξα τὴν τοῦ βίου δίαιταν ζῶν σωφρόνως, συνδιάζων βιωτεῦσαι ἄσκησιν ἄκραν.

Λ πρὸ τοῦ Ε.

Λείβω αἰτιατικῇ. τὴν δ' αἴθοπα οἶνον λεῖβε. Λειτουργῶ, δοτικῇ. ὅς λειτουργῆσαι μετὰ τῆς πόλεως.

Λ πρὸ τοῦ Η.

Λήγω, γενικῇ. λῆγ' ἔριδος, λῆγε θυμοῦ.

Λ πρὸ τοῦ Ι.

Λίγω, τὸ ὑμνῶ, αἰτιατικῇ. λίγω τὴν χάριν τοῦ ἐμοῦ διδασκάλου. Λικμῶ, αἰτιατικῇ. ὁ τὸν Ἰσραὴλ ἐλίκμησεν.

Λ πρὸ τοῦ Ο.

Λούομαι, γενικῇ. λούω δὲ αἰτιατικῇ. λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου.

Λ πρὸ τοῦ Υ.

Λυμαίνω, αἰτιατικῇ. ἐλυμήνατο ἡμᾶς ἐκ δρυμοῦ. Λυπῶ, αἰτιατικῇ. μὴ λύπει μάτην τὸν πλησίον σου. Λύω, αἰτιατικῇ. λύσωμεν πάντα σύνδεσμον ἀδικίας.

ΑΡΧΗ ΤΟΥ Μ.

ΠΡΟ ΤΟΥ Α.



Ακαρίζω, αἰτιατικῇ. μακαρίζωμεν σε πᾶσαι αἱ γενεαί. Μαρτυρῶ, δοτικῇ. μαρτυρήσωμεν τῇ ἀληθείᾳ.

Μ πρὸ

Μ πρὸ τ Ε.

Μεγαλύνω, αἰτιατικῇ. μεγαλύνει ἡ ψυχή μου τὸν κύριον. Μεθύω, αἰτιατικῇ. μεθύσω τὰ βέλη μου ἀφ' αἵματος. Μερίζω, αἰτιατικῇ. διεμέριζεν ἔθνη ὁ ὕψιστος. Μεταλαμβάνω, γενικῇ. μεταλαμβάνει κρατῆρος. Μετρῶ, δοτικῇ. μικροῖς μέτροις μετροῦντες.

Μέχρι ἢ μέχρις, γενικῇ. ἀπ' ἀνατολῶν ἡλίου μέχρι δυσμῶν. Μηνίω, τὸ ὀργίζομαι, δοτικῇ. μηνύω τὸ διαγγέλλω, γενικῇ.

Μ πρὸ τ Ι.

Μίγνυμι, δοτικῇ. μίγνυται γὰρ ὅμοιον τὸ ὅμοιον. Μισῶ, αἰτιατικῇ. μισῶ καὶ τὴν δὲ ἀέρος συνήθειαν.

Μ. πρὸ τ Ν.

Μνημονεύω, γενικῇ. μνημονεύετε τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν.

Μ πρὸ τ Υ.

Μύω τὸ καμμύω, αἰτιατικῇ. μέω τὸ μανθάνω, γενικῇ.

ΑΡΧΗ ΤΟΥ Ν.

ΠΡΟ ΤΟΥ Α.



Ναυαγῶ, αἰτιατικῇ. καὶ ἵνα μὴ ναυαγήσω τῆς ἐλπίδος. Ναυαρχῶ, δοτικῇ. ναυαρχῶν ῥωμαίοις. Ναυμα

χῶ, δοτικῆ. κερκυραίοις τε καὶ πελοπίδαις ἅμα ναυμαχήσομαι.

Ν πρὸ τοῦ Ε.

Νεκρῶ, αἰτιατικῆ. νεκρώσας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. Νεμεσῶ, δοτικῆ. διὶ δὲ κρατερῶς νεμέσα. Νέμω, δοτικῆ. νέμουσι τοῖς ἀνθρώποις τὰ ἀγαθά.

Ν πρὸ τοῦ Ι.

Νίπτω, αἰτιατικῆ. νίψας τοὺς πόδας τῶν μαθητῶν.

Ν πρὸ τοῦ Ο.

Νομίζω, αἰτιατικῆ. νομίσας τοῦτον ἄνθρωπον εἶναι. Νομοθετῶ, δοτικῆ. μὴ νομοθετεῖτε τοῖς νομοθέταις. ἔστιν ὅτε καὶ αἰτιατικῆ. νομοθετήσομεν κύριε τὴν ὁδόν.

Ν. πρὸ τοῦ Υ.

Νυμφαγωγῶ, δοτικῆ. οἵτινες ἑκάστῳ μόνῳ ἄλλῳ νυμφαγωγοῦσιν.

ἈΡΧῊ ΤΟΥ͂ Ξ.

ΠΡῸ ΤΟΥ͂ Α.



Αίνω, αἰτιατικῆ. οὐ ξαινῶ σάρκας ὄνυξιν. Ξαίω, αἰτιατικῆ. καὶ τὸν ἰχῶρα ξαίη.

Ξ πρὸ τοῦ Η.

Ξηραίνω, αἰτιατικῆ. ἐξήρανε τὴν χεῖρα φειδωλία.

Ξ πρὸ τοῦ Χ.

λία. Ξυρῶμαι, αἰτιατικῇ. ξυρᾶται τὴν κόμην κεφαλῆς.

ΑΡΧΗ ΤΟΥ Ο.

ΠΡΟ ΤΟΥ Δ.



Ὀδηγῶ, αἰτιατικῇ. ὁ ὁδηγήσας τὸν ἰσραὴλ ἐν τῇ ἐρήμῳ. Ὁδοιπορῶ, τὸ ὁδοιποιῶ, δοτικῇ. ὁδοιπορήσατε τῷ λαῷ μου. Ὀδύρομαι, αἰτιατικῇ. ὀδύρομαι τὴν ἡμετέραν τύχην.

Ο πρὸ τοῦ Ι.

Οἶδα, αἰτιατικῇ, τίς οἶδε τὸν τηλικοῦτον. Οἰκονομῶ, αἰτιατικῇ. οἰκονομήσει τοὺς λόγους. Οἰκτείρω, αἰτιατικῇ. ὁ θεὸς οἰκτειρῆσαι ἡμᾶς.

Ο πρὸ τοῦ Λ.

ὀλιγωρῶ, γενικῇ. μὴ ὀλιγώρει παιδείας κυρίου.

Ο πρὸ τοῦ Μ.

Ὁμαλίζω, αἰτιατικῇ, ὁμαλίσας τὸ πρόσωπον τῆς γῆς. Ὁμιλῶ, δοτικῇ. κακοῖς ὁμιλῶν, αὐτὸς ἔσῃ. ἰστέον ὅτι τὸ ὁμιλῶ συντάσσεται δοτικῇ, τὸ δὲ οὖ χαίρειν φημὶ τὸ πρᾶγμα, μετὰ δοτικῆς, καὶ παρὰ, πλὴν κειμένης τῆς ἐπί. οἷον, ὁμιλοῦσι ἐπὶ παρρησίᾳ. Ὄμνυμι, δοτικῇ, ὄμνυ-

μοι σοι τ' ἐλήλυθα ἀδελφέ. Ὁμολογῶ, αἰτιατικῆ. ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. ἔστιν δὲ καὶ δοτικῆ. ὁμολογῶ τῷ πλάσαντί με θεῷ.

Ο πρὸ τοῦ Ν.

Ὀνειδίζω, δοτικῆ. ὁ Σολομῶν ὀνειδίζει ἡμῖν τοῖς λόγοις. Ὀνίνημι, αἰτιατικῆ. καὶ ὀνίνησι τὴν ἄῤῥωστον. Ὀνῶ τὸ ὠφελῶ. αἰτιατικῆ. Ὀνῶ τὸ μέμφομαι, καὶ αὐτὸ αἰτιατικῆ.

Ο πρὸ τοῦ Ρ.

Ὀργίζομαι, δοτικῆ. τῷ τιν ὀργισθῇ πλέον. Ὀρκίζω, αἰτιατικῆ. ὁρκίζω ὑμᾶς περὶ τούτου.

Ο πρὸ τοῦ Υ.

Οὐσιῶ, αἰτιατικῆ. οὐσιοῖ γὰρ πᾶσαν κτίσιν.

Ο πρὸ τοῦ Φ.

Ὀφείλω, δοτικῆ. ἵνα μηδ' ὀφείλω οἴκοθέν τι τῷ λόγῳ.

ΑΡΧΗ ΤΟΥ Π.

ΠΡΟ ΤΟΥ Α.


Παίω, αἰτιατικῆ. οἱ μὲν τὰ στέρνα παίουσι. Παιδαγωγῶ, αἰτιατικῆ. παύτα τὰ μέλη παιδαγωγήσωμεν. Παιδεύω, δοτικῆ. πολλοῖς δὲ παιδεύθεις τρόπον. Παραβαίνω, αἰτιατικῆ.

παραβαίνω τὴν ἐντολήν. Παραινῶ, δοτικῇ. καὶ παραινεῖν τοῖς τὰ δέοντα. Παραχωρῶ, δοτικῇ. παραχωρῶ τὸν θρόνον τοῖς θέλουσι. Παρέστη, δοτικῇ. παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ. Παρέχω, δοτικῇ. πταισμάτων ἄφεσιν παρέχει ἡμῖν. Παρίσαμαι, δοτικῇ. παρίσαντο δ' οὗτοι πρὸ ποδὸς τῶ τόκῳ σου. Παρορῶ, αἰτιατικῇ. μὴ παρορῶν στεναγμὸν πένητος. Πάσχω, αἰτιατικῇ. πάσχω διὰ τὸν φίλον μου. Πάσσω τὸ τρίγω, γενικῇ. ὁ κόσυφος οὐκ αὖ πάξαιτο ῥοφῆς.

Πατῶ, αἰτιατικῇ. οὐ θέλω πατεῖν τὴν αὐλήν μου.

Π πρὸ τοῦ Ε.

Πειθαρχῶ, δοτικῇ. πειθαρχεῖν δεῖ θεῷ ἢ ἀνθρώποις. Πέθομαι, δοτικῇ. πέθεσθε τοῖς ἡγουμένοις ὑμῶν. Πελάζω, δοτικῇ. τοῖς πελάζουσι ταῦτα λάμπειν αὐτοῦ. Περιηχῶ, αἰτιατικῇ. καὶ πάντα περιηχοῦσαν τὰ πέρατα. Περιφρονῶ, αἰτιατικῇ. ἀεροβατῶ, καὶ περιφρονῶ τὸν ἥλιον. Περιχαίρω, αἰτιατικῇ. οἱ κύνες τοὺς λίθους οὓς βάλλονται περιχαίρουσι.

Π πρὸ τοῦ Η.

Πηγάζω, αἰτιατικῇ. ἐπήγαζεν τὴν φοινικὴν ἁμαρτίαν. ἰστέον δὲ ὅτι τὸ πηγάζω σημαί-

πάσεται καὶ δοτικῇ. ὡς τὸ, ἐπήγασε τῷ κόσμῳ τὴν ζωήν.

Π πρὸ τοῦ Ι.

Πίνω, αἰτιατικῇ. ἤγε πίνει ὕδατα ἐκ τῶν σῶν ἀγγείων. Πιστεύω, αἰτιατικῇ. πιστεύω εἰς ἕνα θεὸν πατέρα. Πιστεύω, εἰ μὲν σημαίνει τὸ δίδωμι πίστιν οἷς γράφει καὶ λέγει, δοτικῇ. ὡς τὸ, πίστευσόν μοι τἀληθὲς τῷ λέγοντι.

Π πρὸ τοῦ Λ.

Πλέκω, αἰτιατικῇ. γλώσσης πλεκούσης λόγους μακρούς. Πληρῶ, αἰτιατικῇ. καὶ ἐπλήρωσε τὸν οἶκον οὗ ἦσαν καθήμενοι. Πλουτῶ, αἰτιατικῇ. ἵν' ἐγὼ πλουτήσω τὴν ἐκείνου θεότητα.

Π πρὸ τοῦ Ο.

Ποθῶ, αἰτιατικῇ. ἐπόθουν ὑμᾶς ὦ τέκνα. Ποιῶ, αἰτιατικῇ. ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς.

Π πρὸ τοῦ Ρ.

Πρεσβεύω, δοτικῇ. πρέσβευε χριστῷ τῷ θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι. Προσεύχομαι, γενικῇ. προσευχόμενος τοῦ λαοῦ. καὶ δοτικῇ. ὡς τὸ, πρόσευξον τῷ πατρί σου τῷ ἐν κρυπτῷ. Προσέχω, δοτικῇ. πρόσεχε τῇ ἀναγνώσει. Προσκυνῶ, δοτικῇ. προσκυνήσατε

νήσατε περὶ κυρίου. καὶ αἰτιατικῇ, σὲ προσκυνῶ τὸν ἥλιον τῆς δικαιοσύνης. Προσαιτέω, δοτικῇ. εἷς ὀδυνώμενος καὶ προσαιτῶν τῷ ἰατρείῳ. Προστάσσω, δοτικῇ. τί προστάσσεις περὶ σῷ οἰκέτῃ; Προσφέρω, δοτικῇ. ἐπινίκιον ὕμνον προσφέρομέν σοι. Προσφεύγω, δοτικῇ. τῇ ἱερᾷ προσφεύγει τραπέζῃ.

Π πρὸ τοῦ Υ.

Πτωχεύω, αἰτιατικῇ. πτωχεύει γὰρ τὴν ἐμὴν σάρκα.

ἈΡΧῊ ΤΟΥ͂ Ρ.

ΡΠΡῸ ΤΟΥ͂ Α.



Ραβδίζω, αἰτιατικῇ. ῥαβδίζοντες πυρὸς γῆν ἅλωα. Ῥαίνω, αἰτιατικῇ. ῥανάτωσαν ὕδωρ νεφέλαι, καὶ ῥαίνον ἐφ' ἡμᾶς ὕδωρ καθαρόν. Ῥαντίζω αἰτιατικῇ. ῥαντίζουσι τοὺς κεκρινομένους. Ῥάπτω, αἰτιατικῇ. ἔρραψα φύλλα συκῆς.

Ρ πρὸ τοῦ Η.

Ῥήσσω, αἰτιατικῇ. τότε ὁ ἀρχιερεὺς διέρρηξε ἱμάτια.

Ρ πρὸ τοῦ Υ.

Ῥυθμίζω, αἰτιατικῇ. ὁ λόγος ῥυθμίζει τὸν ἐνάρετον ἄνθρωπον. Ῥύομαι, αἰτιατικῇ. ὅς καὶ

σωσάνων ἐῤῥύφαζε. Ῥύπτω, αἰτιατικῇ. ῥύψω-
μεν τὰ ῥύπη τῶν καρδιῶν ἡμῶν. Ῥυφῶ, αἰ-
τιατικῇ. ῥυφῶ πλιοσαύνης χυλὸν ἀναγκαῖον.

ἈΡΧΗ͂ ΤΟΥ͂ Σ.

ΠΡΟ ΤΟΥ͂ Α.



Αγινεύω, αἰτιατικῇ. τὴν οἰκουμένην σα-
γινεύσας. Σαίνω αἰτιατικῇ. τὸ σαι-
νόντων τὴν αἴσθησιν. Σαρῶ, αἰτια-
τικῇ. καὶ τὴν οἰκίαν ἐσάρωσεν.

Σ πρὸ τοῦ Κ.

Σκοπῶ, αἰτιατικῇ. σκόπει τὸν Ἐνὼχ, ποίας
εἴληφε χάριτος. Σκορπίζω, αἰτιατικῇ. διε-
σκορπίσθη τὰ ὀστᾶ αὐτῶν.

Σ πρὸ τοῦ Ο.

Σοφίζω, αἰτιατικῇ. ὁ σοφίσας τοὺς ἁλιεῖς ὑ-
πὲρ ῥήτορας.

Σ πρὸ τοῦ Τ.

Στέργω, δοτικῇ. στέργειν φόβῳ θείῳ. καὶ αἰ-
τιατικῇ. ὡς τὸ, πέρατας καὶ χειμῶνας καὶ κλύ-
δωνας παρορῶσιν οἱ χρήματα στέργοντες.

Σ πρὸ τοῦ Υ.

Συγγράφω, αἰτιατικῇ. συγγράφων τοὺς λόγους
καὶ τὴν ἀλήθειαν. Συγχωρῶ, αἰτιατικῇ. οἱ μὲν συγ-
χωρηθῶσι τὰς ἁμαρτίας, Συνάγω, αἰτια-
τικῇ.

κῆ. συνάγωμ ἑαυτοὺς. Συνάπτω, αἰτιατικῆ. ἐπὶ συναπτοντες οἰκίαν. Συνεορτάζω, δοτικῆ. συνεορτάσωμεν ταῖς φιλεόρτοις τάξεσι.

Συνεργῶ, δοτικῆ. οἱ ἄγγελοι συνεργοῦσιν ἡμῖν. Συνετίζω, αἰτιατικῆ. συνετιῶ σε, καὶ συμβιβῶ σε. Συνηγορῶ, δοτικῆ. Δημοσθένης, καὶ συνηγορεῖ μοι ἐν λόγῳ Αἰσχίνης. Συνίεν τος, γενικῆ. συνιέντα τοῦ μυστηρίου τὴν δύναμιν.

Συντρέχω, δοτικῆ. ἀλλήλοις συντρέχοντες.

Συντρίβω, αἰτιατικῆ. σύντριψον τὸν βραχίονα.

Σ πρὸ τοῦ Χ.

Σχόντων, δοτικῆ. σχόντων ῥηγίνῳ καὶ μεσῖνη. Σχῶμεν, αἰτιατικῆ. ἄνω σχῶμεν τὰς καρδίας.

Σ πρὸ τοῦ Ω.

Σώζω. αἰτιατικῆ. ἔσωσας ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν. Σωφρονῶ, δοτικῆ. αὕτη αὐτῷ σωφρονοῦσα καλῶς.

ΑΡΧΗ ΤΟΥ Τ.

ΠΡΟ ΤΟΥ Α.



Αμιεύω, αἰτιατικῆ. ψυχῆς καθαρσιν ταμιεύεται. Ταπεινῶ, αἰτιατικῆ. ἐταπείνωσας ἑαυτόν.

Τπε

Τ πρὸ τ̃ Ε.

Τέμνω, αἰτιατικῇ. τέμνε γλυκεῖαν αὔλακα.

Τ πρὸ τ̃ Η.

Τήκω, αἰτιατικῇ. τῆκε μὲν τὴν σάρκα, ἵνα μαθήσῃ σοφίαν. Τηρῶ, αἰτιατικῇ. αὐτός σου τηρήσει κεφαλήν.

Τ πρὸ τοῦ Ι.

Τιμῶ, αἰτιατικῇ. τιμᾶ τὸν πατέρα σου καὶ τὴν μητέρα σου.

Τ πρὸ τοῦ Ρ.

Τρέφω, αἰτιατικῇ. ἔθρεψε λαὸν πεινῶντας. Τρώγω, αἰτιατικῇ. ὁ τρώγων μου τὴν σάρκα.

Τ πρὸ τοῦ Υ

Τύπτω, αἰτιατικῇ. τύψατε αὐτὸν ἀφειδῶς. Τυπῶ, αἰτιατικῇ. τυπῶν τὸν λόγον τῆς εὐσεβείας. Τύχω, γενικῇ. ὃς παρικῆς τύχης ἔτυχε.

ΑΡΧΗ ΤΟΥ Υ.

ΠΡΟ ΤΟΥ Β.



Υβρίζω, αἰτιατικῇ. οἱ τοὺς φωστῆρας ὑβρίζοντες.

Υ πρὸ τ̃ Γ.

Υγιαίνω, αἰτιατικῇ. ἀλλὰ τὴν διάνοιαν ὑγιαίνουσιν.

Υ πρὸ

Υ πρὸ τοῦ Ε.

Ὕει τὸ βρέχει, αἰτιατικῇ. ὑπ' οὐρανοῦ τροφὴν ὕει καθὰ Μωσῆς.

Υ πρὸ τοῦ Π.

Ὑπαγορεύω, δοτικῇ. ὑπαγορεύων μυροφόροις χαράν. Ὑπακούω, δοτικῇ. ὑπήκουσεν αὐτῷ. Ὑπερασπίζω, γενικῇ. ὑπερασπιῶ τῆς πόλεως ταύτης. Ὑπερθαυμάζω, αἰτιατικῇ. οὐρανοῦ αἱ δυνάμεις ὑπερεθαύμαζον τὸν χριστόν. Ὑπερμαχῶ, γενικῇ. τὸ δ' ἀληθὲς τῆς σοφίας ὑπερμαχῶ. Ὑπερορῶ, γενικῇ. ὑπερορῶν μὲν τοῦ σώματος. Ὑπερπλέω, γενικῇ. τῶν ὀρωλικῶν ἰΰγγων ὑπερέπλεε. Ὑπερτερῶ, γενικῇ. ὑπερτερούντων τρώων. Ὑπερφρονῶ, γενικῇ. ὁ Ἀβραὰμ λαφύρων ὑπερφρονεῖ. Ὑπνῶ, αἰτιατικῇ. ὕπνωσαν ὕπνον αὐτῶν. Ὑποδεικνύω, δοτικῇ. μαθηταῖς ὑποδεικνύων. Ὑποδέχομαι, αἰτιατικῇ. καὶ νηφούσῃ τῇ διανοίᾳ τὸν λόγον ὑποδέχομαι, ὑπόδεξαι οὖν αὐτὸν καὶ σύ. Ὑπομένω, αἰτιατικῇ. ὑπομένων ὑπέμεινα τὸν κύριον. Ὑποτάσσομαι, δοτικῇ. οἱ δὲ βάρβαροι τῷ βασιλεῖ ὑποτάσσονται. Ὑπουργῶ, δοτικῇ. οἱ ἵπποι τοῖς στρατιώταις ὑπουργοῦσιν.

Ὑπο-

ὑποχωρῶ, δοτικῇ. ὑποχωρεῖ μοι τὰ χρήσιμα.

Υ πρὸ τοῦ Υ.

ὑψῶ, αἰτιατικῇ. ὁ μάλιστα τὴν ἀγάπην τὴν ὕψωσεν.

ΑΡΧΗ ΤΟΥ Φ.

ΠΡΟ ΤΟΥ Α.



Φάγω, αἰτιατικῇ. καὶ γὰρ φάγῃ πάσας τὰς ἡμέρας. Φανερῶ, αἰτιατικῇ. φανερῶν ἑαυτὸν ὁ σωτὴρ τοῖς μαθηταῖς.

Φ πρὸ τοῦ Ε.

Φείδομαι, γενικῇ. φείδομαι τοῦ πνεύματος εἰς πρόνοιαν. Φέρω, αἰτιατικῇ. φέροντες τὰ προσόντα γενναίως. Φεύγω, αἰτιατικῇ. φεύγεις ἐμπειρισμὸν τῶν ψυχῶν.

Φ πρὸ τοῦ Θ.

Φθονῶ δοτικῇ. μὴ φθονήσῃς τῷ κατορθοῦντι ἀρετήν.

Φ πρὸ τοῦ Ι.

Φιλοσοφῶ, αἰτιατικῇ. οὐ συγχωρεῖται φιλοσοφῆσαι τὴν ἀλήθειαν.

Φ πρὸ τοῦ Ο.

Φοβοῦμαι, δοτικῇ. τίς δὲ οὐ φοβεῖται τὴν ἐξουσίαν. Φορῶ, αἰτιατικῇ. σάρκα φορεῖ διὰ τὴν σάρκα.

Φ πρὸ

Φ πρὸ τοῦ Ρ.

Φείδω, αἰτιατικῇ. ὁ φείδῃς τὴν ὄψιν τοῦ βασιλέως.

Φ πρὸ τοῦ Υ.

Φυλάσσω, αἰτιατικῇ. φυλάσσει κύριος πάντα τὰ ὀστᾶ αὐτοῦ.

Φ πρὸ τοῦ Ω.

Φωτίζω, αἰτιατικῇ. φώτισον ἡμᾶς τοῖς προστάγμασί σου. ὁμοίως καὶ γενικῇ. φωτίζω σου διὰ τῆς μαθήσεως τὸν νοῦν

ἈΡΧΗ ΤΟΥ͂ Χ.

ΠΡῸ ΤΟΥ͂ Α.



Χειραγωγῶ, αἰτιατικῇ. χειραγωγῶν ἡμᾶς εἰς τὴν ἐκεῖθεν μακαριότητα. Χειροτονῶ, αἰτιατικῇ. χειροτονεῖς θεολόγους. Χέω αἰτιατικῇ. χέασα παμμιγῆ βολήν.

Χ πρὸ τοῦ Ο.

Χολῶ, δοτικῇ. ἐμοὶ χολᾷς, ὅτι ἄνθρωπον ἐποίησα ὑγιῆ. Χορηγῶ, δοτικῇ. χορηγῶν αὐτοῖς καθεκάστην. Χορτάζω, γενικῇ. ἐχορτάσθησαν τῆς διδαχῆς Παύλου.

Χ πρὸ τοῦ Ρ.

Χρύζω, γενικῇ. ὡς τὸ, χρύσω βοφῆς. Χρῶμαι, δοτικῇ. ἐχρήσατο ὁ κύριος τῷ πηλῷ.

Χ πρὸ τοῦ Ω.

Χωρίζομαι, γενικῇ. τῆς πατρικῶν σου κόλπων μὴ χωρισθῇς.

ΑΡΧΗ ΤΟΥ Ψ.

ΠΡΟ ΤΟΥ Α.



Ψάλλω, δοτικῇ. ψάλατε τῷ θεῷ ἡμῶν ψάλατε. Ψαύω, γενικῇ. ψαύουσι τῶν ἀψαύστων. ὁμοίως καὶ δοτικῇ. ὥστε τὸ, ψαυέτω μηδαμῶς ἡ χεὶρ τῆς ἀμυήτοις.

Ψ πρὸ τοῦ Ε.

Ψεύδομαι, γενικῇ. ἐψευσάμην τῆς ἐλπίδος.

Ψ πρὸ τοῦ Η.

Ψηλαφῶ, αἰτιατικῇ. ψηλαφήσαντες αὐτοῦ χεῖρας καὶ πόδας.

Ψ πρὸ τοῦ Ι.

Ψιθυρίζω, αἰτιατικῇ. δόλον ἐψιθύρισεν ἐν τοῖς ὠσί.

Ψ πρὸ τοῦ Υ.

Ψυχαγωγῶ, αἰτιατικῇ. ταῖς γε εὐρυθμίαις, καὶ ταῖς συμμετρίαις ψυχαγωγοῦσι τοὺς ἀκούοντας.

Ψ πρὸ τοῦ Ω.

Ψωμίζω, αἰτιατικῇ. ψωμεῖς ἡμᾶς ἄρτον δακρύων.

ΑΡΧΗ

ἈΡΧῊ ΤΟῦ Ω.

ΠΡῸ ΤΟΥ Δ.



Δίνω, αἰτιατικῇ. ὠδίνουσι τε ἀντιθέσεις.

Ω πρὸ τοῦ Θ.

Ὠθῶ, αἰτιατικῇ. ὁ δὲ ἀπωθεῖται αὐτήν. καὶ ἀπώθει φόβον ἅπαντα.

Ω πρὸ τοῦ Ρ.

Ὡραΐζομαι δοτικῇ. καὶ ποταμοῖς ὡραΐζεται.

Ω πρὸ τοῦ Φ.

Ὠφελῶ, αἰτιατικῇ. μεγάλως ὠφελεῖ τοὺς λοιμικοὺς ἡ γενομένη ὑπὲρ αὐτῶν προσφορά.
Ὠφελῶ τὸ βοηθῶ, δοτικῇ. τοῖς δεομένοις ὠφελεῖν προθυμήθητι, ἀντὶ τοῦ βοηθεῖν.

ΤΈΛΟΣ.

ΑΛΛΑ ΤΑΥΤΑ ΜΈΝ, ΠΡΌΣ ἛΝ ΜΌΝΟΝ πρόσωπον ποιοῦσι τὴν μετάβασιν. τὰ δὲ ῥηθησόμενα, καὶ ἕτερον συνεισάγουσι πρόσωπον. τούτων τοίνυν, ἀπὸ μὲν γενικῆς εἰς γενικὴν, ἢ ἀπὸ γενικῆς εἰς δοτικὴν, ἢ ἀπὸ δοτικῆς εἰς δοτικὴν μεταβαῖνον, οὐδὲν εὑρίσκεται. ἀλλὰ ἢ ἀπὸ γενικῆς εἰς αἰτιατικὴν, ἢ ἀπὸ δοτικῆς εἰς γενικὴν, ἢ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν, ἢ ἀπὸ αἰτιατικῆς, εἰς γενικὴν, ἢ ἀπὸ αἰτιατικῆς εἰς δοτικὴν, ἢ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν.

ΤᾺ ἈΠῸ ΓΕΝΙΚῆΣ ΕἸΣ αἰτιατικήν.



Ἀκούω σου τοὺς λόγους, ὑπακούω σοι δὲ, μόνῃ δοτικῇ. Ἀποδέχομαί σου τὴν φιλίαν, καὶ ἀντιστρόφως, ἀποδέχομαί σε τῆς σοφίας. Δέομαί σου τόδε. Διΐσημι σου τὸν φίλον, καὶ διΐσημί σε τοῦ φίλου. Κατηγορῶ σου φόνον. Καταδικάζω σου θάνατον. Καταψηφίζομαί σου ζημίαν, καταδικάζω σου τιμωρίαν.

κατα-

Καταγινώσκω σου ἀμαθίαν. Προτιμῶ καὶ προκρίνω τοῦ νόθου τὸν γνήσιον.

Ἀπὸ δὲ δοτικῆς εἰς γενικὴν, ταῦτα.

Αμφισβητῶ σοι τῆς ἀρχῆς, καὶ περὶ τῆς ἀρχῆς. Δεῖ μοι χρημάτων. Μετέχω καὶ συμμετέχω σοι τοῦ πάθους, καὶ μετέχω σοι τὸ ἴσον πάθος, ὡς Ἀριστοφάνης ἐν Πλούτῳ. οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοί. Κοινωνῶ σοι τῆς δόξης. Μέτεσί μοι τοῦ κλήρου. Μέλει μοι τοῦ ἀνθρώπου, ἀντὶ τοῦ φροντίς μοι ἐστί. Μεταμέλει μοι τῆς ἀπαιδευσίας. Φθονῶ σοι τῆς εὐτυχίας. Συγγινώσκω σοι τῆς ἀναισθησίας. Ἰλάσθητί μοι τῆς παροινίας. ἐν γὰρ τούτοις τὸ ἕνεκεν ἔξωθεν λαμβάνεται, καὶ ἀναπληροῖ τὴν σύνταξιν. πλὴν τοῦ δεῖ μοι χρημάτων, καὶ μετέχω, καὶ κοινωνῶ, καὶ μέτεσιν.

Τὰ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Αγγέλλω σοι τὰ πεπραγμένα. καὶ παθητικῶς, ἀπαγγέλλομαί σοι εὐδαιμονίαν. Ἀγορεύω σοι λόγον. Προσαγορεύω σε δὲ, μόνῃ αἰτιατικῇ. ὁμοίως καὶ ὅσα τὸ λέγω σημαίνει. οἷον λέγω σοι λόγον. ὁμοίως καὶ προλέγω,

καὶ καταλέγω. ἐκλέγω δὲ καὶ συλλέγω, αἰτιατικῇ μόνῃ. τὸ δὲ ἀντιλέγω δοτικῇ μόνῃ. καὶ παθητικῶς, μεθ' ὅσων συντάσσεται προθέσεων, αἰτιατικῇ μόνῃ. Λαλῶ, καὶ ἐκλαλῶ σοι τὰ μέλλοντα, καὶ ἀπόρρητα. Καταλαλῶ δέ σου, μόνῃ γενικῇ. Φημί σοι ταῦτα. Φθέγγομαί σοι λόγον. Ἀποφθέγγομαι δὲ, μόνῃ αἰτιατικῇ. Φράζω σοι τὸ ζητούμενον. Ἑρμηνεύω σοι τὸν νοῦν. Διασαφῶ σοι τὰ γεγραμμένα. Ἄγω σοι τὸν ἄνθρωπον. καὶ μεθ' ὅσων συντάσσεται προθέσεων. καὶ ἄγω σε εἰς τόνδε τὸν τόπον. καὶ ὅσα σημαίνει τὸ ἄγω. οἷον ἤνεγκά σοι τὸν ζητούμενον. καὶ ἤνεγκά σε εἰς τὸ πεδίον. ὑπήνεγκά σε δὲ, ἀντὶ τοῦ ὑπέμεινά σε, μόνῃ αἰτιατικῇ. Κομίζω, καὶ προσκομίζω σοι δῶρα. κομίζομαι δὲ τὸ λαμβάνω, αἰτιατικῇ μόνῃ. Φέρω σοι δῶρα, καὶ φέρω σε εἰς τὴν πόλιν, καὶ μεθ' ὅσων συντάσσεται προθέσεων. ὑποφέρω σε δὲ, ἀντὶ τοῦ ὑπομένω σε, μόνῃ αἰτιατικῇ. παθητικῶς δὲ, ἐκφέρομαι τοῦ καθεστηκότος. καὶ καταφέρομαι τοῦ ἐχθροῦ, μόνῃ γενικῇ. συμφέρομαι δὲ, καὶ προσφέρομαι, καὶ ἀντιφέρομαι, τὸ ἐναντιοῦμαι, καὶ διαφέρομαι, δοτικῇ μόνῃ. ἀποφέρομαι δὲ κλέος, καὶ ἀπηνεγκάμην δόξαν, αἰτιατικῇ μόνῃ. Δίδωμί σοι τὸ αἰτούμενον. καὶ μεθ' ὅσων συντάσσεται προθέσεων. Μεταδί-

δωμι

δῶμι δέ σοι τὸ πλοῦτ, ἀλλὰ δοτικῆς εἰς γενικήν. παθητικῶς δὲ, ἀποδίδομαί σοι τὸ ἵππον τοῦτο, ἀντὶ τοῦ πιπράσκω. ὁμοίως καὶ ὅσα τὸ δίδωμι ἢ τὸ δωροῦμαι σημαίνει. οἷον ἀφίημί σοι τὴν οὐσίαν. ἀφίεμαι δέ σε τοῦ χρέους, ἀντὶ τοῦ ἀπολύω, ἀλλὰ αἰτιατικῆς εἰς γενικήν. Βραβεύω σοι τὸ ἔπαθλον. Δανείζω σοι τὰ χρήματα. ὁμοίως καὶ παρέχω, καὶ προτείνω, καὶ ἀποτείνω, καὶ ἐγχειρίζω. Ἐπέχω σοι δίκην. Πέμπω σοι γράμματα. Μεταπέμπομαι δέ σε. καὶ ἐκπέμπομαι καὶ ἀποπέμπομαι, μόνη αἰτιατικῇ. Προξενῶ σοι κέρδος. Χορηγῶ σ ι χρήματα. Ἐπιτρέπω σοι τὸν υἱόν. Νέμω καὶ διανέμω τοῖς πτωχοῖς τὰ προσόντα. Δωροῦμαι σοι χρυσίον, καὶ ἀντιστρόφως δωροῦμαι σε χρυσίῳ. Ἀφοσιοῦμαί σοι τὸ χρέος. Ἄδω σοι μέλος, προσάδω σοι δὲ, μόνη δοτικῇ. Παρᾴδω σε δὲ, μόνη αἰτιατικῇ. Καταπάδω σοῦ δὲ, γενικῇ μόνῃ.

Ἀπειλῶ σοι φόνον. Ἀπεμπολῶ σοι τὸ ἵππον εἴκοσι νομισμάτων. ὁμοίως καὶ τὸ πωλῶ, καὶ πιπράσκω, καὶ ἀποδίδωμι, καὶ ὠνοῦμαι, καὶ ἐπριάμην. Χρῶμαί σοι τὰ χρεῖα. Γινώσκω σοι χάριν. ὁμοίως καὶ τὸ οἶδα, καὶ ἐπίσταμαι, καὶ ὁμολογῶ. Γνωρίζω σοι δὲ τὴν ἐμαυτοῦ βουλήν. Γράφω σοι τὰ πραχθέντα. καὶ ἀντιστρόφως, γράφω σε

τοῖς πολίταις. Διαγράφω σε τοῦ πράγματος, ἀντὶ αἰτιατικῆς εἰς γενικήν. τὸ δὲ περιγράφω σε, μόνῃ αἰτιατικῇ. καὶ παθητικῶς, γράφομαί σε ἀδικίας, ἀντὶ τοῦ κατηγορῶ. Παραγράφομαί σε, καὶ ὑπογράφομαί σε, μόνῃ αἰτιατικῇ. Δείκνυμί σοι τὸν ἄνθρωπον. ὁμοίως καὶ τὸ δηλῶ, καὶ παραδηλῶ, καὶ ἐμφανίζω, καὶ φανερῶ, καὶ σημαίνω. Σημαίνω δὲ τὸ ἄρχω, καθ' Ὅμηρον γενικῇ μόνῃ. ὁμοίως καὶ φαίνω, καὶ ἐκφαίνω σοι τὰ κεκρυμμένα. Ἀποφαίνομαι δὲ τόδε, μόνῃ αἰτιατικῇ. Ἐκπολεμῶ σοι τὸν ἀδελφόν, ἑτοιμάζω σοι δεῖπνον. Εὐαγγελίζομαί σοι χαρὰν καὶ νίκην. Ζωννύω σοι τόνδε, καὶ ὅσα τῆς αὐτῆς ἐστι διανοίας. Μίγνυμι λίθοις ξύλα, καὶ ἑνῶ, καὶ συνάπτω, καὶ ἁρμόζω. Κοινοῦμαί σοι τὴν βουλήν. Προσέχω τοῖς λόγοις τὸν νοῦν. Θύω τῷ θεῷ ἑκατόμβην θυσίαν. Λαγχάνω σοι δίκην. Ὀφείλω σοι χρήματα. Σπένδω τῷ τεθνεῶτι χοάς. Σπένδομαί σοι δέ, ἀντὶ τοῦ καταλλάττομαι, μόνῃ δοτικῇ. Συνάπτω σοι μάχην. Στέλλω, καὶ ἀποστέλλω σοι τὸν ὑπηρέτην. Ἀναστέλλω σε δὲ τῆς ὁρμῆς, ὡς τὸ κωλύω, καὶ διαστέλλω, τὸ διαχωρίζω. Συστέλλω δέ, καὶ καταστέλλω, καὶ περιστέλλω, καὶ παθητικῶς μεταστέλλομαι, μόνῃ αἰτιατικῇ.

Συνοῖδα

Συνοῖδά σοι φόνον. Ὑποβάλλω σοι τόδε, ἀντὶ τοῦ ὑποτίθημι. Ἡγοῦμαί σοι τῆς ὁδοῦ. Σαθιδρύω τῷ θεῷ ναόν. Συνίστημί σοι τὸν ἄνθρωπον.

Τὰ ἀπὸ αἰτιατικῆς εἰς γενικήν.

Ἄγαμαί σε τοῦ φρονήματος, θαυμάζω σε τῆς συνέσεως, καὶ ἐκπλήττομαι, καὶ ἐπαινῶ. Ὡς ἐγκωμιάζω, καὶ ζηλῶ, καὶ ὀλβιάζω, καὶ εὐδαιμονῶ, καὶ φιλῶ, καὶ ἀγαπῶ, καὶ ἀποδέχομαι. ὁμοίως καὶ μισῶ σε τῆς ἀναιδείας, καὶ στυγῶ, καὶ βδελύττομαι, καὶ ἀποστρέφομαι, καὶ ταλανίζω, καὶ κακίζω, καὶ μέμφομαι. νοεῖται γὰρ ἐν ἅπασι τούτοις τὸ ἕνεκα. οἷον ἄγαμαί σε ἕνεκα τοῦ φρονήματος. τοῦτον δεῖ καὶ τὸ αἰτιῶμαί σε τῆς ζημίας. καὶ ἐλεῶ, καὶ οἰκτείρω σε τῆς ταλαιπωρίας, καὶ θρηνῶ, καὶ κλαίω, καὶ ὀλοφύρομαί σε τῆς συμφορᾶς. καὶ δακρύω σε τῆς ἀναισθησίας. ταῦτα δὲ πάντα καὶ ἀντιστρόφως ἀπὸ γενικῆς εἰς αἰτιατικὴν συντάσσεται. οἷον ἄγαμαί σου τὸ σῶφρον. καὶ θαυμάζω, καὶ ἀποδέχομαί σου τὸ γενναῖον. τὸ δὲ αἱροῦμαι, καὶ προαιροῦμαι ζωὴν θανάτου, καὶ ἀλλάττομαι χρύσεια χαλκοῦ, οὐκ ἀντιστρέφονται. τὸ δὲ ἐξαιροῦμαί σε τοῦ θανάτου, καὶ κωλύω σε τοῦ δεσμοῦ, καὶ ἀπολύω σε τοῦ δεσμοῦ, καὶ λύω σε τοῦ δε-

σμοῦ καὶ ἀπολύω σε τῆς ἀρχῆς καὶ ἀμβλύνω σε τῆς ὁρμῆς, καὶ διώκω σε τῆς οἰκίας, καὶ ἐκδιώκω, καὶ ἀποδιώκω σε τῆς χώρας, καὶ παύω καὶ ἀνακόπτω, καὶ ἀναχαιτίζω, καὶ ἀναστέλλω, καὶ ἐπέχω, καὶ εἴργω σε τῆς πορείας, καὶ ἐλαύνω, καὶ ἀπωθοῦμαι, καὶ ἐξελαύνω σε τῆς χώρας, καὶ ἀπελαύνω σε τῆς πόλεως, καὶ ἀποπέμπω, καὶ ἐκκλείω σε τῆς οἰκίας, καὶ ἐλαφρύνω, καὶ κουφίζω σε τοῦ βάρους, καὶ ἐλευθερῶ σε τῆς δουλείας, καὶ αἰρύομαι ἢ λυποῦμαι, καὶ ἀπαλλάττω, καὶ μακρύνω σε τῆς πόλεως, καὶ ἁρπάζω σε τοῦ πυρός. καὶ ἐγείρω, καὶ ἐξεγείρω σε τοῦ ὕπνου, καὶ ἰῶμαί σε τοῦ νοσήματος. καὶ καθαίρω σε τοῦ ῥύπου, καὶ κρεμῶ σε τοῦ ποδός, καὶ μετεωρίζω σε τῆς ὀργῆς. ταῦτα δὲ τὴν, ἐξ, καὶ, ἀπό, πρόθεσιν ἔξωθεν ἔχουσι λαμβανομένην. οἷον καθαίρω σε ἀπὸ τοῦ ῥύπου, καὶ κρεμῶ σε ἀπὸ τοῦ ποδός. εἰσὶ δὲ καὶ ἕτερα ῥήματα, ἀπὸ αἰτιατικῆς εἰς γενικὴν ὁμοίως συντασσόμενα, ἐν οἷς οὔτε τὸ ἕνεκα, οὔτε τις πρόθεσις ἔξωθεν λαμβάνεται, ἀλλ' αὐτὰ τὰ ῥήματα εἰς ὄνομα καὶ ῥῆμα διαλύονται. οἷον ἀξιῶ σε τιμῆς, τουτέστιν ἄξιόν σε κρίνω τιμῆς. γυμνῶ σε τῆς ἀρχῆς, ἀντὶ τοῦ γυμνόν σε ποιῶ τῆς ἀρχῆς. ἐλαττῶ σε τοῦ ἑταίρου, ἀντὶ τοῦ ἐλάττονά σε ποιῶ τοῦ ἑταί-

ϱου. αἰθωῶ σε τοῦ ἐγκλήματος, ἀντὶ τοῦ αἰδῶόν σε ποιῶ. ξενῶ σε τοῦ πλούτου, ἀντὶ τοῦ ξένον σε ποιῶ. τὸ δὲ γεμίζω τὸ πλοῖον σίτου, καὶ κορέννυμί σε τροφῆς, καὶ ἐμπιπλῶ σε ἀγαθῶν, καὶ πληρῶ τὸν οἶκον εὐωδίας, φύσει τὴν τοιαύτην σύνταξιν κέκτηνται. τὸ δὲ ἐπριάμην δοῦλον εἴκοσι μνῶν, καὶ ὠνοῦμαι οἶνον σίτου, καὶ πωλῶ, καὶ πιπράσκω, τὴν, διὰ, πρόθεσιν ἔχουσιν ἔξωθεν λαμβανομένην.

Τὰ ἀπὸ αἰτιατικῆς εἰς δοτικὴν, ταῦτα.

Αμείβομαί σε δώροις. Δεξιοῦμαί σε βαπτίζει. Ἐθίζω σε τῇ γεωργίᾳ. Ἀξιῶ σε τῷ Ἡρακλεῖ. Ὁμοιῶ σε τῷ Ἡρακλεῖ. ἡ δὲ τοιαύτη σύνταξις, σχεδὸν ἡ αὐτή ἐστι τῇ προῤῥηθείσῃ, ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν. καὶ γὰρ κἀκεῖ δυνάμεθα προστιθέντες τὴν αἰτιατικὴν, εἶτα ἐπιφέρειν τὴν δοτικήν.

Ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν, ταῦτα.

Γυμνάζω σε τὸν πόλεμον. Διδάσκω σε γραμματικὴν. Παιδεύω σε στρατείαν. Νουθετῶ. Ἐνδύω, καὶ ἐκδύω, καὶ ἀποδύω, καὶ περιδύω σε τὰ ἱμάτια, Ἐρωτῶ σε τὰ πεπραγμένα.

Ζημιῶ σε χρυσίον. τοῦτο δὲ καὶ εἰς δοτικήν, οἷον ζημιῶ σε χρυσίῳ. κλέπτω σε τὰ χρήματα, καὶ κρύπτω σε τὴν ἐμαυτοῦ βουλήν. Μυῶ καὶ τελῶ σε τὰ ἀπόῤῥητα. Πείθω σε τόδε τὸ πρᾶγμα. Ποτίζω σε οἶνον. Πράττομαι, καὶ εἰσπράττομαί σε τὸν φόρον. Στερῶ, καὶ ἀποστερῶ σε τὰ χρήματα. τοῦτο δὲ καὶ εἰς γενικήν. οἷον ἀποστερῶ σε τῶν χρημάτων.

Τὰ εἰς ἀπαρέμφατον ποιούμενα τὴν μετάβασιν.

Εἰσὶ δὲ καί τινα ῥήματα ἀφ' ὧν οὐκ εἰς ὄνομα, ἀλλ' εἰς ἀπαρέμφατον τὴν σύνταξιν ἀποδιδόασιν. οἷον ἀδυνατῶ γράφειν. αἰδοῦμαι γυμνὸς βαδίζειν, καὶ αἰσχύνομαι, καὶ ἐρυθριῶ. ὀκνῶ, καὶ πυνθάνομαί σε νοεῖν. Ἀναγκάζω σε τρέχειν. Βιάζομαί σε παρὰ γνώμην τοῦτο ποιεῖν. Ἀξιῶ σε ἐλθεῖν. Διϊσχυρίζομαι ταῦθ' οὕτως ἔχειν. Ἀρῶμαι, καὶ εὔχομαι τῷ θεῷ εὐφορίαν γενέσθαι. Ἀρκῶ, καὶ αὐταρκῶ μόνος διαιτᾶσθαι. συνέβη γενέσθαι τόδε. Βραδύνω ἐλθεῖν. δεῖ βαδίζειν, ὁμοίως καὶ χρὴ εἶναι. ἐνδέχεται περιπατοῦντα προσπταίειν. Δοκῶ σε χαίρειν, καὶ ἡγοῦμαι, καὶ νομίζω, καὶ λογίζομαι, καὶ ὑποτοπάζω, καὶ οἶμαι. Δύναμαι

μαι τρέχειν, καὶ εὐπορῶ, καὶ εὐχρῶ, καὶ ἔχω καὶ ἰσχύω, καὶ ἀπολῶ. εἵμαρται, καὶ πέπρωταί μοι εὐτυχεῖν. ἐπισκήπτω σοι ἠρεμεῖν, καὶ ἐντέλλομαι, καὶ προστάσσω, καὶ κελεύω. ἔοικας μηδὲν ἐμοῦ φροντίζειν. κατεπείγω σε ἐργάζεσθαι. Ἕπεταί μοι σιγᾶν. Ἀφίημι, καὶ ἐῶ σε βαδίζειν. Κινδυνεύω ἀποθανεῖν. Μεριμνῶ θρέψαι λαόν. Κελεύω σοι πρᾶξαι τόδε. κελεύω σε λαὸν διδάξαι, καὶ ὁρμῶ πλεῦσαι.

Τὰ δὲ, ποτὲ μὲν εἰς ὄνομα, ποτὲ δὲ εἰς ἀπαρέμφατον ποιοῦντα τὴν μετάβασιν.

Εἰσὶ δὲ καὶ ἔνια ῥήματα, ἃ ποτὲ μὲν εἰς ὄνομα, ποτὲ δὲ εἰς ἀπαρέμφατον ποιοῦντα τὴν μετάβασιν. οἷον αἱροῦμαι καὶ προαιροῦμαι ζωὴν θανάτου, καὶ αἱροῦμαι ἀναγινώσκειν μᾶλλον, ἢ γράφειν. Ἀναίνομαι, καὶ ἀρνοῦμαι τὴν στρατείαν, καὶ ἀρνοῦμαι στρατεύειν. ἁρμόζει μοι ἡ δεσποτεία, καὶ ἁρμόζει μοι δεσπόζειν. Ἄρχομαι τῆς γραφῆς, καὶ ἄρχομαι γράφειν. Βούλομαι, καὶ θέλω τὰ τοιαῦτα, καὶ βούλομαι πλεῦσαι. Χρήζω τοῦ πλούτου, καὶ χρήζω πλουτεῖν. Συμβουλεύω σοι ἡσυχίαν, καὶ συμβουλεύω σοι εὐτυχεῖν, ἢ ἡσυχάζειν. Γινώσκω τὴν γραφὴν, καὶ

οἶδα

ΑΛΛΑ ΤΑΥΤΑ ΜΈΝ, ΠΡῸΣ ἝΝ ΜΌΝΟΝ πρόσωπον ποιοῦσι τὴν μετάβασιν. τὰ δὲ ἐνθησόμενα, καὶ ἕτερον συνεισάγουσι πρόσωπον. τούτων τοίνυν, ἀπὸ μὲν γενικῆς εἰς γενικὴν, ἢ ἀπὸ γενικῆς εἰς δοτικὴν, ἢ ἀπὸ δοτικῆς εἰς δοτικὴν μεταβαῖνον, οὐδὲν εὑρίσκεται. ἀλλὰ ἢ ἀπὸ γενικῆς εἰς αἰτιατικὴν, ἢ ἀπὸ δοτικῆς εἰς γενικὴν, ἢ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν, ἢ ἀπὸ αἰτιατικῆς, εἰς γενικὴν, ἢ ἀπὸ αἰτιατικῆς εἰς δοτικὴν, ἢ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν.

ΤᾺ ἈΠῸ ΓΕΝΙΚῆΣ ΕἸΣ αἰτιατικήν.



Ἀκούω σου τοὺς λόγους, ὑπακούω σοι δὲ, μόνῃ δοτικῇ. Ἀποδέχομαί σου τὴν φιλίαν, καὶ ἀντιστρόφως, ἀποδέχομαί σε τῆς φιλίας. Δέομαί σου τόδε. Διΐστημι σου τὸν φίλον, καὶ διΐστημί σε τοῦ φίλου. Κατηγορῶ σου φόνον. Καταδικάζω σου θάνατον. Καταψηφίζομαί σου ζημίαν. καταδικάζω σου τιμωρείαν. κατα-

Καταγινώσκω σου ἀμαθίαν. Προτιμῶ καὶ προκρίνω τοῦ νόθου τὸν γνήσιον.

Ἀπὸ δὲ δοτικῆς εἰς γενικὴν, ταῦτα.

Ἀμφισβητῶ σοι τῆς ἀρχῆς, καὶ περὶ τῆς ἀρχῆς. Δεῖ μοι χρημάτων. Μετέχω καὶ συμμετέχω σοι τοῦ πάθους, καὶ μετέχω σοι τὸ ἴσον πάθος, ὡς Ἀριστοφάνης ἐν Πλούτῳ. οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοί. Κοινωνῶ σοι τῆς δόξης. Μέτεστί μοι τοῦ κλήρου. Μέλει μοι τοῦ ἀνθρώπου, ἀντὶ τοῦ φροντίς μοι ἐστί. Μεταμέλει μοι τῆς ἀπρομηθίας. Φθονῶ σοι τῆς εὐτυχίας. Συγγινώσκω σοι τῆς ἀναισθησίας. Ἱλάσθητί μοι τῆς παροινίας. ἐν γὰρ τούτοις τὸ ἕνεκεν ἔξωθεν λαμβάνεται, καὶ ἀναπληροῖ τὴν σύνταξιν. πλὴν τοῦ δεῖ μοι χρημάτων, καὶ μετέχω, καὶ κοινωνῶ, καὶ μέτεστιν.

Τὰ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Ἀγγέλλω σοι τὰ πεπραγμένα. καὶ παθητικῶς, ἀπαγγέλλομαί σοι εὐδαιμονίαν. Ἀγορεύω σοι λόγον. Προσαγορεύω σε δὲ, μόνῃ αἰτιατικῇ. ὁμοίως καὶ ὅσα τὸ λέγω σημαίνει. οἷον λέγω σοι λόγον. ὁμοίως καὶ προλέγω,

δῶμι δέ σοι τοῦ πλούτου, ἀλλὰ δοτικῆς εἰς γενικήν. παθητικῶς δὲ, ἀποδίδομαί σοι τὸν ἵππον τοῦτου, ἀντὶ τοῦ πιπράσκω. ὁμοίως καὶ ὅσα τὸ δίδωμι ἢ τὸ δωροῦμαι σημαίνει. οἷον ἀφίημί σοι τὴν οὐσίαν. ἀφίεμαι δέ σε τοῦ χρέους, ἀντὶ τοῦ ἀπολύω, ἀλλὰ αἰτιατικῆς εἰς γενικήν. Βραβεύω σοι τὸ ἔπαθλον. Δανείζω σοι τὰ χρήματα. ὁμοίως καὶ παρέχω, καὶ προτείνω, καὶ ἀποτείνω, καὶ ἐγχειρίζω. Ἐπέχω σοι δίκην. Πέμπω σοι γράμματα. Μεταπέμπομαι δέ σε. καὶ ἐκπέμπομαι καὶ ἀποπέμπομαι, μόνη αἰτιατικῇ. Προξενῶ σοι κέρδος. Χορηγῶ σοι χρήματα. Ἐπιτρέπω σοι τὸν υἱόν. Νέμω καὶ διανέμω τοῖς πτωχοῖς τὰ προσόντα. Δωροῦμαι σοι χρυσίον, καὶ ἀντιστρόφως δωροῦμαί σε χρυσίῳ. Ἀφοσιοῦμαί σοι τὸ χρέος. Ἄδω σοι μέλος, προσᾴδω σοι δὲ, μόνη δοτικῇ. Παρᾴδω σε δὲ, μόνη αἰτιατικῇ. κατεπᾴδω σου δὲ, γενικῇ μόνη.

Ἀπειλῶ σοι φόνον. Ἀπεμπολῶ σοι τὸν ἵππον εἴκοσι νομισμάτων. ὁμοίως καὶ τὸ πωλῶ, καὶ πιπράσκω, καὶ ἀποδίδωμι, καὶ ὠνοῦμαι, καὶ ἐπριάμην. Χρῶμαι σοι τὰ χεῖρε. Γινώσκω σοι χάριν. ὁμοίως καὶ τὸ οἶδα, καὶ ἐπίσταμαι, καὶ ὁμολογῶ. Γνωρίζω σοι δὲ τὴν ἐμαυτοῦ βουλήν. Γράφω σοι τὰ πραχθέντα. καὶ ἀντιστρόφως, γράφω σε

τοῖς πολίταις. Διαγράφω σε τοῦ τάγματος, ἀλλ' αἰτιατικῆς εἰς γενικήν. τὸ δὲ περιγράφω σε, μόνη αἰτιατικῇ. καὶ παθητικῶς, γράφομαί σε ἀδικίας, ἀντὶ τοῦ κατηγοροῦ. Παραγράφομαί σε, καὶ ἀπογράφομαί σε, μόνη αἰτιατικῇ. Δείκνυμί σοι τὸν ἄνθρωπον. ὁμοίως καὶ τὸ δηλῶ, καὶ παραδηλῶ, καὶ ἐμφανίζω, καὶ φανερῶ, καὶ σημαίνω. Σημαίνω δὲ τὸ ἄρχω, καθ' Ὅμηρον γενικῇ μόνῃ. ὁμοίως καὶ φαίνω, καὶ ἐκφαίνω σοι τὰ κεκρυμμένα. Ἀποφαίνομαι δὲ τόδε, μόνη αἰτιατικῇ. Ἐκπολεμῶ σοι τὸν ἀδελφόν, ἑτοιμάζω σοι δεῖπνον. Εὐαγγελίζομαί σοι χαρὰν καὶ νίκην. Ζεύγνυω σοι τόνδε, καὶ ὅσα τῆς αὐτῆς ἐστι διανοίας. Μίγνυμι λίθοις ξύλα, καὶ ἑνῶ, καὶ συνάπτω, καὶ ἁρμόζω. Κοινοῦμαι σοι τὴν βουλήν. Προσέχω τοῖς λόγοις τὸν νοῦν. Θύω τῷ θεῷ ἑκατόμβην θυσίαν. Λαγχάνω σοι δίκην. Ὀφείλω σοι χρήματα. Σπένδω τῷ τεθνεῶτι χοάς. Σπένδομαί σοι δέ, ἀντὶ τοῦ καταλλάττομαι, μόνη δοτικῇ. Συνάπτω σοι μάχην. Στέλλω, καὶ ἀποστέλλω σοι τὸν ὑπηρέτην. Ἀναστέλλω σε δὲ τῆς ὁρμῆς, ὡς τὸ κωλύω, καὶ διαστέλλω, τὸ διαχωρίζω. Συστέλλω δέ, καὶ καταστέλλω, καὶ περιστέλλω, καὶ παθητικῶς μεταστέλλομαι, μόνη αἰτιατικῇ.

Συνοῖδα

Συνοῖδά σοι φόνον. Ὑποβάλλω σοι τόδε, ἀντὶ τοῦ ὑποτίθημι. Ἡγοῦμαί σοι τῆς ὁδοῦ. Σαθιδρύω τῶν θεῶν ναόν. Συνίστημί σοι τὸν ἄνθρωπον.

Τὰ ἀπὸ αἰτιατικῆς εἰς γενικήν.

Ἄγαμαί σε τοῦ φρονήματος, θαυμάζω σε τῆς συνέσεως, καὶ ἐκπλήττομαι, καὶ ἐπαινῶ. ἐγκωμιάζω, καὶ ζηλῶ, καὶ ὀλβιάζω, καὶ εὐδαιμονῶ, καὶ φιλῶ, καὶ ἀγαπῶ, καὶ ἀποδέχομαι. ὁμοίως καὶ μισῶ σε τῆς ἀναιδείας, καὶ συγῶ, καὶ βδελύττομαι, καὶ ἀποστρέφομαι, καὶ ταλανίζω, καὶ κακίζω, καὶ μέμφομαι. νοεῖται γὰρ ἐν ἅπασι τούτοις τὸ ἕνεκα. οἷον ἄγαμαί σε ἕνεκα τοῦ φρονήματος. τοιοῦτον δέ καὶ τὸ αἰτιῶμαί σε τῆς ζημίας. καὶ ἐλεῶ, καὶ οἰκτείρω σε τῆς ταλαιπωρίας, καὶ θρηνῶ, καὶ κλαίω, καὶ ὀλοφύρομαί σε τῆς συμφορᾶς. καὶ δακρύω σε τῆς ἀναισθησίας. ταῦτα δὲ πάντα καὶ ἀντιστρόφως ἀπὸ γενικῆς εἰς αἰτιατικὴν συντάσσεται. οἷον ἄγαμαί σου τὸ σῶφρον. καὶ θαυμάζω, καὶ ἀποδέχομαί σου τὸ γενναῖον. τὸ δὲ αἱροῦμαι, καὶ προαιροῦμαι ζωὴν θανάτου, καὶ ἀλλάττομαι χρύσεια χαλκοῦ, οὐκ ἀντιστρέφονται. τὸ δὲ ἐξαιροῦμαί σε τοῦ θανάτου, καὶ κωλύω σε τοῦ δεσμοῦ, καὶ ἀπολύω σε τοῦ δεσμοῦ, καὶ λύω σε τοῦ δε-

σμοῦ καὶ ἀπολύω σε τῆς ἀρχῆς καὶ ἀμβλύνω σε τῆς ὁρμῆς, καὶ διώκω σε τῆς οἰκίας, καὶ ἐκδιώκω, καὶ ἀποδιώκω σε τῆς χώρας, καὶ παύω καὶ ἀνακόπτω, καὶ ἀναχαιτίζω, καὶ ἀναστέλλω, καὶ ἐπέχω, καὶ εἴργω σε τῆς πορείας, καὶ ἐλαύνω, καὶ ἀπωθοῦμαι, καὶ ἐξελαύνω σε τῆς χώρας, καὶ ἀπελαύνω σε τῆς πόλεως, καὶ ἀποπέμπω, καὶ ἐκκλείω σε τῆς οἰκίας, καὶ ἐλαφρύνω, καὶ κουφίζω σε τοῦ βάρους, καὶ ἐλευθερῶ σε τῆς δουλείας, καὶ αἰρύνομαι ἢ λυποῦμαι, καὶ ἀπαλλάττω, καὶ μακρύνω σε τῆς πόλεως, καὶ ἁρπάζω σε τοῦ πυρός. καὶ ἐγείρω, καὶ ἐξεγείρω σε τοῦ ὕπνου, καὶ ἰῶμαί σε τοῦ νοσήματος. καὶ καθαίρω σε τοῦ ῥύπου, καὶ κρεμῶ σε τοῦ ποδός, καὶ μετεωρίζω σε τῆς ὀργῆς. ταῦτα δὲ τὴν, ἐξ, καὶ, ἀπό, πρόθεσιν ἔξωθεν ἔχουσι λαμβανομένην. οἷον καθαίρω σε ἀπὸ τοῦ ῥύπου, καὶ κρεμῶ σε ἀπὸ τοῦ ποδός. εἰσὶ δὲ καὶ ἕτερα ῥήματα, ἀπὸ αἰτιατικῆς εἰς γενικὴν ὁμοίως συντασσόμενα, ἐν οἷς οὔτε τὸ ἕνεκα, οὔτε τις πρόθεσις ἔξωθεν λαμβάνεται, ἀλλ' αὐτὰ τὰ ῥήματα εἰς ὄνομα καὶ ῥῆμα διαλύονται. οἷον ἀξιῶ σε τιμῆς, τουτέστιν ἄξιόν σε κρίνω τιμῆς. γυμνῶ σε τῆς ἀρχῆς, ἀντὶ τοῦ γυμνόν σε ποιῶ τῆς ἀρχῆς. ἐλαττῶ σε τοῦ ἑταίρου, ἀντὶ τοῦ ἐλάττονά σε ποιῶ τοῦ ἑταί-

ρυ. ἀθωῶ σε τοῦ ἐγκλήματος, ἀντὶ τοῦ ἀθῶον σε ποιῶ. κενῶ σε τοῦ πλούτου, ἀντὶ τοῦ κενόν σε ποιῶ. τὸ δὲ γεμίζω τὸ πλοῖον σίτου, καὶ κορέννυμί σε τροφῆς, καὶ ἐμπιπλῶ σε ἀγαθῶν, καὶ πληρῶ τὸν οἶκον εὐωδίας, φύσει τὴν τοιαύτην σύνταξιν κέκτηνται. τὸ δὲ ἐπριάμην δοῦλον εἴκοσι μνῶν, καὶ ὠνοῦμαι οἶνον σίτου, καὶ πωλῶ, καὶ πιπράσκω, τὴν, διὰ, πρόθεσιν ἔχουσιν ἔξωθεν λαμβανομένην.

Τὰ ἀπὸ αἰτιατικῆς εἰς δοτικὴν, ταῦτα.

Αμείβομαί σε δώροις. Δεξιοῦμαί σε βαπτίζη. Ἐθίζω σε τῇ γεωργίᾳ. Ἀξιῶ σε τῷ Ἡρακλεῖ. Ὁμοιῶ σε τῷ Ἡρακλεῖ. ἡ δὲ τοιαύτη σύνταξις, σχεδὸν ἡ αὐτή ἐστι τῇ προῤῥηθείσῃ, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. καὶ γὰρ κἀκεῖ δυνάμεθα προστιθέντες τὴν αἰτιατικὴν, εἶτα ἐπιφέρειν τὴν δοτικήν.

Ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν, ταῦτα.

Γυμνάζω σε τὸν πόλεμον. Διδάσκω σε γραμματικήν. Παιδεύω σε στρατείαν. Νουθετῶ. Ἐνδύω, καὶ ἐκδύω, καὶ ἀποδύω, καὶ περιδύω σε τὰ ἱμάτια, Ἐρωτῶ σε τὰ πεπραγμένα.

Ζημιῶ σε χρυσίου. τοῦτο δὲ καὶ εἰς δοτικήν, οἷον ζημιῶ σε χρυσίῳ. κλέπτω σε τὰ χρήματα, καὶ κρύπτω σε τὴν ἐμαυτοῦ βουλήν. Μυῶ καὶ τελῶ σε τὰ ἀπόρρητα. Πείθω σε τόδε τὸ πρᾶγμα. Ποτίζω σε οἶνον. Πράττομαι, καὶ εἰσπράττομαί σε τὸν φόρον. Στερῶ, καὶ ἀποστερῶ σε τὰ χρήματα. τοῦτο δὲ καὶ εἰς γενικήν. οἷον ἀποστερῶ σε τῶν χρημάτων.

Τὰ εἰς ἀπαρέμφατον ποιοῦντα τὴν μετάβασιν.

Εἰσὶ δὲ καὶ ἄλλα ῥήματα ἃ οὐκ εἰς ὄνομα, ἀλλ' εἰς ἀπαρέμφατον τὴν σύνταξιν ἀποδιδόασιν. οἷον ἀδυνατῶ γράφειν. αἰδοῦμαι γυμνὸς βαδίζειν, καὶ αἰσχύνομαι, καὶ ἐρυθριῶ. ἀκούω, καὶ πυνθάνομαί σε νοεῖν. Ἀναγκάζω σε τρέχειν. Βιάζομαί σε παρὰ γνώμην τοῦτο ποιεῖν. Ἀξιῶ σε ἐλθεῖν. Διισχυρίζομαι τοῦθ' οὕτως ἔχειν. Ἀρῶμαι, καὶ εὔχομαι τῷ θεῷ εὐφορίαν γενέσθαι. Ἀρκῶ, καὶ αὐταρκῶ μόνος διαιτᾶσθαι. συνέβη γενέσθαι τόδε. Βραδύνω ἐλθεῖν. δεῖ βραδίζειν, ὁμοίως καὶ χρὴ εἶναι. ἐνδέχεται περιπατοῦντα προσπταίειν. Δοκῶ σε χαίρειν, καὶ ἡγοῦμαι, καὶ νομίζω, καὶ λογίζομαι, καὶ ὑποτοπάζω, καὶ οἶμαι. Δύναμαι

μαι τρέχειν, καὶ εὐπορῶ, καὶ εὐχρῶ, καὶ ἔχω καὶ ἰσχύω, καὶ ἀπολῶ. εἵμαρται, καὶ πέπρωταί μοι εὐτυχεῖν. ἐπισκήπτω σοι ἠρεμεῖν, καὶ ἐντέλλομαι, καὶ προστάσσω, καὶ κελεύω. ἔοικας μηδὲν ἐμοῦ φροντίζειν. κατεπείγω σε ἐργάζεσθαι. Ἕπεταί μοι σιγᾶν. Ἀφίημι, καὶ ἐῶ σε βαδίζειν. Κινδυνεύω ἀποθανεῖν. Μεριμνῶ θρέψαι λαόν. Κελεύω σοι πρᾶξαι τόδε. κελεύω σε λαὸν διδάξαι, καὶ ὁρμῶ πλεῦσαι.

Τὰ δὲ, ποτὲ μὲν εἰς ὄνομα, ποτὲ δὲ εἰς ἀπαρέμφατον ποιοῦντα τὴν μετάβασιν.

Εἰσὶ δὲ καὶ τινα ῥήματα, ἃ ποτὲ μὲν εἰς ὄνομα, ποτὲ δὲ εἰς ἀπαρέμφατον ποιοῦντα τὴν μετάβασιν. οἷον αἱροῦμαι καὶ προαιροῦμαι ζωὴν θανάτου, καὶ αἱροῦμαι ἀναγινώσκειν μᾶλλον, ἢ γράφειν. Ἀναίνομαι, καὶ ἀρνοῦμαι τὴν στρατείαν, καὶ ἀρνοῦμαι στρατεύειν. ἁρμόζει μοι ἡ δεσποτεία, καὶ ἁρμόζει μοι δεσπόζειν. Ἄρχομαι τῆς γραφῆς, καὶ ἄρχομαι γράφειν. Βούλομαι, καὶ θέλω τὰ τοιαῦτα, καὶ βούλομαι πλεῦσαι. Χρήζω τοῦ πλούτου, καὶ χρήζω πλουτεῖν. Συμβουλεύω σοι ἡσυχίαν, καὶ συμβουλεύω σοι εὐτυχεῖν, ἢ ἡσυχάζειν. Γινώσκω τὴν γραφὴν, καὶ

οἶδα

οἶδα καὶ ἐπίσταμαι, ἀντὶ τοῦ τέχνην ἔχω, καὶ γινώσκω γράφειν. ὅταν δὲ τὸ ἁπλῶς εἰδέναι σημαίνει, πρὸς μετοχὴν ἡ σύνταξις γίνεται. οἷον οἶδά σε γράφοντα. Γινώσκω σε χρηστὸν ὄντα. Γλίχομαι, ἢ ἐπιθυμῶ, καὶ ἱμείρομαι, καὶ ὀρέγομαι ἡγεμονίας, καὶ γλίχομαι ἡγεμονεῦσαι, καὶ ὀκνῶ, καὶ φρίττω, καὶ φυλάττομαι. ὡσαύτως καὶ δέδοικα, καὶ φυλάττομαι τὴν θάλατταν. Διδάσκω, ἢ νουθετῶ σε τὴν ταπεινοφροσύνην, καὶ διδάσκω σε ταπεινοφρονεῖν. Δίδωμί σοι θάῤῥος, καὶ δίδωμί σοι θαῤῥεῖν. Εἴργω καὶ κωλύω, καὶ ἐπέχω σε τῆς μάχης, καὶ εἴργω σε μάχεσθαι. Ζητῶ τὴν φιλοσοφίαν, καὶ ζητῶ φιλοσοφεῖν. Κρίνω καὶ διακρίνω τόδε, καὶ κρίνω μηδένα ἐχθρὸν ἔχειν. Λήγω ἢ παύομαι τῆς γραφῆς, καὶ παύομαι γράφειν, καὶ ἔτι παύομαι γράφων εἰς μετοχήν. Μανθάνω τὴν γεωργίαν, καὶ μανθάνω γεωργεῖν. Μαντεύομαι τὰ μέλλοντα, καὶ μαντεύομαι δεινὸν ἔσεσθαι τὸν πόλεμον. Ὀφείλω πολὺ χρυσίον, καὶ ὀφείλω τὰ δίκαια ποιεῖν. Πειρῶμαι τῶν πολεμίων, καὶ πειρῶμαι νικῆσαι τοὺς ἐχθρούς μου. Πλάττομαι καὶ ὑποκρίνομαι τὸν φίλον, καὶ πλάττομαι φίλος εἶναι. Στέγω σε, καὶ ἀνέχω σε, καὶ ἀνέχομαί σου. καὶ στέγω τὰ τοιαῦτα ἀ-

κούειν,

κούειν, καὶ ἔτι ἀνέχομαι ἀκούων, εἰς μετοχήν. Συμφέρει μοι ἡ ἀπραγμοσύνη, καὶ συμφέρει μοι μηδὲν πολυπραγμονεῖν. Ἀπαγγέλλομαι, καὶ ὑπισχνοῦμαι, καὶ ὁμολογῶ, καὶ ἀπειλῶ σοι φόνον, καὶ ἀπειλῶ φονεῦσαι τὸν ἐχθρόν.

Τὰ δὲ εἰς ἓν ὄνομα μόνον ποιούμενα τὴν μετάβασιν, οὐκ ἄνευ μέντοι μέσης προθέσεως, ταῦτα.

Εἰσὶ δὲ καὶ ἕτερα ῥήματα, ἅπερ εἰς ὄνομα ποιοῦντα τὴν μετάβασιν, οὐκ ἄνευ μέντοι μέσης προθέσεως. οἷον ἀμφιβάλλω, καὶ διστάζω, καὶ ἐνδοιάζω περὶ τοῦδε. Κάθημαι ἐπὶ θρόνου. Ἀπαντῶ πρὸς τὸ δικαστήριον. Αὐτομολῶ, πρὸς τοὺς πολεμίους. Ἀφικνοῦμαι καὶ βαδίζω πρὸς τὴν πόλιν. καὶ ὅσα τὴν αὐτὴν ἔχοντα σημασίαν. οἷον πορεύομαι, φοιτῶ, ἔρχομαι, παραγίνομαι, τρέχω, ὁρμῶ. Ἐκκλησιάζομαι περὶ εἰρήνης. ἐγκρατεύομαι ἀπὸ οἴνου. Θαμίζω περὶ τὴν ἀγοράν. Θρασύνομαι ἐπὶ τοῦδε, μεριμνῶ περὶ τροφῆς. Μετοικῶ, καὶ μεταναστεύω ἐκ τῆσδε τῆς πόλεως εἰς ἑτέραν εὐτυχεστέραν. Μικρολογοῦμαι περὶ φαύλων. Νοστῶ καὶ παλινοστῶ, καὶ ἀπονοστῶ, ἢ ἐπ' οἶκον, ἢ ἐπ' οἴκου. Οἰκῶ ἐν τῷ ἀγρῷ, οἰκίζω δὲ ἕτερον. Ἐξώκειλεν ἡ ναῦς εἰς τὰς ῥαχίας. Ὀχοῦμαι ἐφ' ἵππου.

προοινῶ εἰς τοὺς συμπότας. Ῥέπω πρὸς ναυτι-
λίαν. Σαλεύει ἡ ναῦς περὶ τὰς ἀγκύρας. Ὑβρίζω,
καὶ ἐξυβρίζω εἰς τὴν ἀρχήν. Χωρῶ πρὸς ἔργον.
καὶ ταῦτα μὲν οὕτως. ἰστέον ὅτι πάντα τὰ ῥήμα-
τα καὶ μεταβατικὰ καὶ ἀμετάβατα τῇ, σὺν,
προθέσει συναπτόμενα, καὶ ἕτερον πρόσω-
πον προσλαμβάνουσι, κατὰ δοτικῆς ἐκφερόμε-
να. καὶ μεταβατικὰ μὲν, οἷον συναδικῶ σοι τὸν
δεῖνα, συναθῶ, συνθρηνῶ. ἀμετάβατα δὲ.
οἷον συναθλῶ σοι, συμπαίζω σοι, συνακμά-
ζω σοι. ὅτι πάντα τὰ ἀμετάβατα ῥήματα, ὅ-
σα τῇ, ἀντὶ, προθέσει συνάπτονται, μεταβα-
τικὰ γίνονται, καὶ δοτικῇ συντάσσονται. οἷον
ἀντίκειμαί σοι, ἀντιρητορεύω σοι. ὅτι πάντα τὰ
ῥήματα καὶ μεταβατικὰ καὶ ἀμετάβατα, προ-
σηγορικοῖς ὀνόμασι συντασσόμενα, ἐξ αὐτῶν
τῶν ῥημάτων παραγομένοις, αἰτιατικῇ προσφε-
ρόμενα, ὅπερ αὐτὸ ὄνομα ἔχουσι, προσλαμβανο-
μένων δηλονότι τοῖς τοιούτοις προσηγορικοῖς,
καὶ ἐπιθέτων. καὶ μεταβατικὰ μὲν, οἷον ἀδι-
κῶ σε ἀδικίαν μεγάλην. ἐρῶ σου ἔρωτα δρι-
μύν. ἰδοὺ γὰρ ἡ μὲν ἀδικία προσηγορικὸν, ἡ
δὲ μεγάλη, ἐπίθετον. Ἀπειθῶ σοι ἀπείθειαν
μεγάλην ἀθεράπευτον. Ἀμελοῦμαι ἀμέλειαν

οὐ

τὸ μικρόν. Ἀδικοῦμαι ἀδικίαν περιφανῆ. Ἀμετάβατα δὲ, οἷον γηρῶ γῆρας ταλαίπωρον. Δυσυχῶ δυσυχίαν ἀνήκεστον. Βιῶ βίον φιλόσοφον. εἰ δὲ ὡς ὀργάνῳ χρώμεθα περὶ τοιούτῳ προσηγορικῷ, ἐπὶ δοτικὴν αὐτὸ τότε προφέρομεν. οἷον ῥάβδῳ ῥαβδίζω, ὅπλοις ὁπλίζομαι.

Ἔτι πάντα τὰ ῥήματα καὶ μεταβατικὰ καὶ ἀμετάβατα, ὧν αἱ ἐνέργειαι ὀργάνοις τισὶ γίνονται, ἐάν περ καὶ τὰ ὄργανα ἔχωσιν ἐν τῇ συντάξει, δοτικὴν αὐτὰ ἔχουσι προφερόμενα. μεταβατικὰ μὲν, οἷον Βλέπω σε τοῖς ὀφθαλμοῖς. Τύπτω σε τῇ χειρὶ, ἢ τύπτω σε ῥάβδῳ. Ἰατρεύω σε φαρμάκοις. ἀμετάβατα δὲ, οἷον ἀγάλλομαι τῇ ψυχῇ. Ἀστράπτω πυρί. Μεθύω οἴνῳ. ἔτι πάντα τὰ ῥήματα μεταβατικὰ, τὰ παθητικὴν σημασίαν ἔχοντα, δοτικῇ προφερόμενον, ἔχει τὸ πρόσωπον τὸ τὴν ἐνέργειαν ποιοῦν, νοουμένης τῆς δοτικῆς ἀντὶ γενικῆς μετὰ τῆς, ὑπὸ, προθέσεως. οἷον τύπτομαί σοι, ἀντὶ τοῦ τύπτομαι ὑπὸ σοῦ. φιλοῦμαί σοι, ἀντὶ τοῦ φιλοῦμαι ὑπὸ σοῦ. Γέγραπται περὶ Συνεσίῳ λόγος, ἀντὶ τοῦ ὑπὸ Συνεσίου. ἔτι πάντα τὰ ῥήματα, καὶ μεταβατικὰ καὶ ἀμετάβατα, ὅταν ἔξωθεν ἐμφαίνηται πρόσωπον, οὗ τινος προσχωρεῖ ἡ ἐνέργεια τοῦ

ῥήματος γίνεται. δοτικῇ τὸ πρόσωπον ἐκεῖνο ἐκφέρεται. καὶ μεταβατικὰ μὲν, οἷον τύπτω σοι τὸν ἐχθρὸν, τουτέστι τύπτω τὸν ἐχθρὸν χάριν σήν.

Ἀρδεύω σοι τὸν κῆπον, ἤγουν χάριν σὴν ἀρδεύω τὸν κῆπον. Ἅπτω σοι πῦρ. Ἀμετάβατα δὲ, ὡς ὅταν λέγομεν, καὶ ἥλιος ἡμῖν ἀνατέλλει, καὶ ἄνεμοι ἡμῖν πνέουσι, τουτέστι χάριν ἡμῶν πνέουσιν οἱ ἄνεμοι. Εὔχομαι πλούσιος εἶναι, τουτέστιν ἐγὼ εὔχομαι, ἀμεταβάτως. καὶ εὔχομαι πλούσιον εἶναι ἕτερον, μεταβατικῶς, αἰτιατικῇ συνταττόμενον. Ἐνδέχεται αὔριον βρέξαι, τουτέστιν ἵνα βρέξῃ, ἢ καὶ οὔ.

ΤΕΛΟΣ.

ΛΕΞΙ-

ΛΕΞΙΚΟΝ ΚΑΤΑ ΣΤΟΙΧΕΙ̂ΟΝ, ΠΕΡΙΈΧΟΝ

τὰ κοινῶς γραφόμενα ῥήματα, ἐν ᾧ δείκνυται τίνα μὲν αὐτῶν εἰσὶν ἀμετάβατα, τίνα δὲ μεταβατικά, καὶ τούτων τίνι συντάσσεται ἕκαστον, καὶ τί δηλοῖ, καὶ μετὰ πόσων προθέσεων συνάπτεται. ἐφ' ἑνὶ δὲ ἑκάστῳ στοιχείῳ, πρῶτον μὲν κεῖνται τὰ ἀμετάβατα ῥήματα. μετὰ ταῦτα δὲ τὰ μεταβαίνοντα εἰς γενικήν, καὶ καθεξῆς τὰ εἰς δοτικήν, καὶ οὕτω συμπληροῦνται τὰ εἰκοσιτέσσαρα στοιχεῖα. Ἀρχὴ τοῦ Α, τὰ ἀμετάβατα.



Ἀγάλλομαι, τὸ χαίρω. ἀγάλλω δὲ τὸ τιμῶ ἕτερον, ὅθεν καὶ ἄγαλμα, μεταβατικὸν εἰς αἰτιατικήν. ὡσαύτως, καὶ τὸ ἀγάλλομαι τῇ ψυχῇ, εἰς δοτικήν. Ἀγαλλιῶμαι, τὸ αὐτό. Ἀγανακτῶ, ἐνίοτε δὲ τοῦτο, καὶ μεταβατικὸν εἰς δοτικήν, διὰ μέσης προθέσεως. οἷον ἀγανακτῶ ἐπὶ τοῖς γινομένοις. Ἀγνωμονῶ. Ἁγνεύω, τὸ καθαρεύω. Ἀγοράζω, τὸ

εἰς ἀγορὰν διατρίβω. Ἀγοράζω δὲ ἄρθρῳ, ἀντὶ τοῦ ὠνοῦμαι, μεταβατικὸν εἰς αἰτιατικήν.

Ἀγορανομῶ, τὸ περὶ τὴν ἀγορὰν διοικῶ. Ἀγραυλῶ, τὸ ἐπὶ ἀγροῦ αὐλίζομαι. Ἀδειαίνω. Ἀγρυπνῶ. Ἀγροικίζομαι, ἀντὶ τοῦ ἄγροικός εἰμι, καὶ ἀμαθής. Ἀγρώσσω, τὸ ἀγρεύω, κυρίως ἐπὶ ἰχθύων. τοῦτο δὲ καὶ μεταβατικὸν εἰς αἰτιατικήν. Ἀγωνίζομαι. καταγωνίζομαι δὲ, τὸ νικῶ. καὶ ἀνταγωνίζομαι. τὸ προποῦμαι, μεταβατικὰ εἰς αἰτιατικήν. τὸ μέν τοι ἀνταγωνίζομαι τὸ ἁμιλλῶμαι, μεταβατικὸν καὶ αὐτὸ εἰς δοτικήν. Ἀγωνοθετῶ, τὸ διατίθημι ἀγῶνα. Ἀγωνιῶ, τὸ φοβοῦμαι. Ἀδημονῶ, τὸ λυποῦμαι. Ἀδηφαγῶ. Ἀδοξῶ, τὸ ἀτίμως ἔχω. Ἀδολεσχῶ, τὸ φιλοσοφῶ, τὸ φλυαρῶ, τὸ παίζω, καὶ ὀλιγωρῶ. ἀδολεσχῶ δέ σου, ἀντὶ καταφλυαρῶ, μεταβατικὸν εἰς γενικήν. Ἀδυνατῶ, τοῦτο δὲ ὡς μεταβατικὸν εἰς ἀπαρέμφατον, οἷον ἀδυνατῶ λέγειν. Ἄδω, τὸ ψάλλω, καὶ ἐπάδω. ἄδω δὲ τὸν θεῷ ὕμνον, ἤγουν ἀνάδω αὐτῷ, καὶ προσάδω, μεταβατικὰ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. ἄδω δὲ τὴν πόλιν, ἤγουν τὴν γῆν, ὅταν αὐτῇ ποιήσω ᾠδήν, καὶ παρᾴδω, τὸ παραλλάξω,

λῶ, εἰς αἰτιατικὴν μόνην. τὸ μὲν τοι συνᾴδω τὸ συμφωνῶ, καὶ ἀπᾴδω, τὸ ἐναντίον τούτῳ, εἰς δοτικὴν μόνην. τὸ δὲ κατᾴδω, καὶ κατεπᾴδω, εἰς γενικήν. Ἀεροβατῶ, τὸ εἰς ἀέρα περιπατῶ. Ἀθυμῶ, τὸ λυποῦμαι. Αἱρετίζομαι, τὸ βούλομαι, καὶ προκρίνω, μεταβατικὸν εἰς αἰτιατικὴν καὶ ἀπαρέμφατον. Αἰωνίζω, τὸ ἀκολάστως ἔχω. Ἀκκίζομαι, τὸ προσποιοῦμαι μὴ ἐθέλειν, ὅπερ ἐθέλω. σημαίνει καὶ τὸ γυναικίζομαι, ἢ μωραίνω. Ἀκρατίζομαι, τὸ ἄκρατον πίνω. Ἀλαζονεύομαι, τὸ ἐπαίρομαι. Ἀλαλάζω, τὸ ὀξείᾳ φωνῇ καὶ ἐμμελεῖ εὔχομαι.

Ἀλγῶ, τὸ λυποῦμαι. ἀλγῶ δὲ τὴν κεφαλήν, μεταβατικὸν εἰς αἰτιατικήν. Ἀληθίζω, καὶ ἀληθίζομαι, τὸ αὐτὸ παρ' Ἡροδότῳ. Ἅλλομαι, τὸ πηδῶ. ἐφάλλομαι δὲ, μεταβατικὸν εἰς δοτικήν. Ἀλύω, τὸ ἀδημονῶ. εὕρηται δὲ τοῦτο καὶ ἀντὶ τοῦ χαίρομαι. Ἀλιτῶ, τὸ ἁμαρτάνω. Ἁμαρτάνω, τὸ ἁμαρτίαν ποιῶ, καὶ ἐξαμαρτάνω. Ἁμαρτάνω δὲ τοῦ σκοποῦ, καὶ διαμαρτάνω, τὸ ἀποτυγχάνω, μεταβατικὸν εἰς γενικήν. Ἀμβλίσκει ἡ γυνή, ἤγουν διαφθείρει τὸ κύημα. Ἀμαθαίνω, τὸ ἀμαθὴς εἰμί. Ἀμηχανῶ, τὸ ἀπορῶ καὶ οὐχ εὑρίσκω μηχανήν.

Ἀμηχανῶ δὲ, τὸ ἀτυγχάνω παρ᾽ Ἡροδότῳ, μεταβατικὸν εἰς γενικήν. Ἀναδύομαι, ἀνακωχεύειν ἐπὶ νηῶν, ἤγουν τὸ ἐν πελάγει ἠρεμεῖν. Ἀνδρίζομαι, τὸ τὰ τῶν ἀνδρῶν πράττειν. ἀνίσχει ἡ βοτάνη, ἤγουν ἀναδίδοται· ἀνίσχει δὲ ἡ γῆ βοτάνας, ἤγουν ἀναδίδωσι, μεταβατικὸν εἰς αἰτιατικήν. Ἀνδραγαθῶ, ἀνθρωπίζω, τὸ τὰ τῶν ἀνθρώπων φρονῶ. Ἀπανθῶ, τὸ μαραίνομαι. Ἀνατέλλει ὁ ἥλιος. Ἀνατέλλει δὲ ὁ θεὸς τὸν ἥλιον, μεταβατικὸν εἰς αἰτιατικήν. Ἐπιτέλλει ὁ ἀστήρ. ἐπιτέλλω δὲ καὶ ἐντέλλομαι τὸ προστάσσω, μεταβατικὰ ἀπὸ δοτικῆς εἰς ἀπαρέμφατον. οἷον ἐπιτέλλω σοι γράφειν. Ἀνοηταίνω, τὸ μωραίνω. Ἀργῶ.

Ἀριστῶ, τὸ γεύομαι. Ἀριστεύω, τὸ τροπαιουχῶ. Ἀροτριῶ. ἀροτριῶ δὲ τὸ χωρίον, μεταβατικὸν εἰς αἰτιατικήν. Ἀρτιάζειν τὸ παίζειν, καὶ ἐρωτᾶν ἄρτια, ἢ περιττά. Ἀρρωστῶ. Ἀσελγαίνω, τὸ ἀκολασταίνω. Ἀσθενῶ, τὸ ἀδυνατῶ. Ἀσκωλιάζω, τὸ ἐφ᾽ ἑνὸς ποδὸς ἅλλομαι. Ἀσπαίρω, τὸ ψυχορραγῶ.

Ἀστράπτω, καὶ ἀστράπτω τινὶ, μετὰ δοτικῆς. περιαστράπτω δὲ, καὶ καταστράπτω ἕτερον, μεταβατικὰ εἰς αἰτιατικήν. Ἀστρονομῶ.

Ἀσχαλ-

Ἀχθόμαι, τὸ λυποῦμαι. Ἄτακτῶ. Ἀτμίζω, ἀτονῶ. Ἀτρεμίζω, τὸ ἠρεμῶ, ἀτροφῶ. Αὐλῶ. καταυλῶ δὲ ἑτέρου, εἰς αἰτιατικήν. Αὐξαίνω, τὸ αὔξησιν λαμβάνω. Αὐθαδίζομαι, καὶ ἀπαυθαδίζομαι, τὸ ἀλαζονεύομαι. Ἀφωσιάζω, τὸ ςασιάζω. Ἀφοδεύω, τὸ ἀποπατῶ, καὶ ἀποσκυβαλίζω. Ἀχθοφορῶ. Ἄχθομαι, τὸ λυποῦμαι. Ἄχθομαι δὲ, ἀντὶ τοῦ βαροῦμαι, μεταβατικὸν εἰς δοτικήν, οἷον ἄχθομαί σοι.

Τὰ μεταβαίνοντα εἰς γενικήν.

Ἄγαμαι, τὸ θαυμάζω. ἔστι δὲ καὶ εἰς αἰτιατικήν, καὶ ἀπὸ γενικῆς εἰς γενικήν, καὶ ἀπὸ γενικῆς εἰς αἰτιατικήν, καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Ἀκούω τινός, ἀντὶ τοῦ ἀκροατὴς εἰμί. καὶ ἀκούω τοῦ δεῖνος. ἔστι δὲ καὶ εἰς αἰτιατικήν, καὶ ἀπὸ γενικῆς εἰς αἰτιατικήν. καὶ ἀπὸ γενικῆς εἰς γενικήν, καὶ ἔτι εἰς ἀπαρέμφατον. ἀντακούω, τὸ ἐξ ἐναντίας ἀκούω. εὕρηται δὲ ἔστι καὶ εἰς αἰτιατικήν. καὶ παρακούω, τὸ παρανοῶ, καὶ τὸ παρέργως ἀκούω, καὶ μὴ μετὰ σπουδῆς. καὶ ἐπακούω, καὶ εἰσακούω, τὸ μέντοι ὑπακούω εἰς δοτικήν. Ἀλογῶ, τὸ ἀφροντιςῶ, καὶ καταφρονῶ. Ἀμελῶ, καὶ καταμελῶ. Ἀμνημονῶ, τοῦ δὲ καὶ εἰς αἰτιατικήν. Ἀπορῶ τροφῆς,

φῆς, ἀντὶ τοῦ χρείαν ἔχω. καὶ ἀπορῶ, ἀντὶ τοῦ μηχανῶ. Ἀπολαύω, τὸ κατατρυφῶ, καὶ παραπολαύω, καὶ ἐπαπολαύω. λέγεται δὲ ταῦτα καὶ ἐπὶ καλοῦ, καὶ ἐπὶ κακοῦ. Ἄρχω, τὸ ἐξουσιάζω, καὶ τὸ προηγοῦμαι, καὶ ἄρχομαι, τὸ ἀρχὴν ποιοῦμαι. ἔστι δὲ καὶ εἰς ἀπαρέμφατον. Ἀστοχῶ τοῦ σκοποῦ. Ἀφειδῶ, τὸ ἀμελῶ. Ἀφροντιστῶ, τὸ ἀφροντίστως ἔχω.

Τὰ μεταβαίνοντα εἰς δοτικήν.

Ἀκολουθῶ, ἢ κατακολουθῶ, καὶ παρακολουθῶ. Ἁμιλλῶμαι, τὸ ἐρίζω. Ἀμύνω ἢ ἐπαμύνω, τὸ βοηθῶ, καὶ ἐκδικῶ. ἀμύνομαι δὲ τὸ κολάζω, εἰς αἰτιατικήν. Ἀπειθῶ, τὸ οὐ πείθομαι. Ἀπεχθάνομαι, τὸ μισῶ. Ἀπαντῶ, τὸ συναντῶ, καὶ ὑπαντῶ, τὸ αὐτό. Ἀπαντῶ δὲ τὸ ἔρχομαι, εἰς αἰτιατικήν, διὰ μέσης προθέσεως. Ἀρέσκω, ἀντὶ τοῦ ἀρεστὸς φαίνομαι. ἀττικῶς δὲ καὶ εἰς αἰτιατικήν, ὡς παρὰ Πλάτωνι. ἀλλ᾽ εἰ μὴ αὖ σε ταῦτα ἀρέσκομαι, τὸ ἐναντίον. Ἀρῶμαι, τὸ εὔχομαι. ἔστι δὲ ἢ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν, καὶ εἰς ἀπαρέμφατον.

Ἁρμόζω, ὃ καὶ ἁρμόττω γράφεται, καὶ ἐφαρμόζω, τὸ ἁρμοδίως εἰμί. Ἀχολοῦμαι, καὶ ἐγχολοῦ-

χολοῦμαι. Ἀσμενίζω, καὶ γνασμενίζω. Ἀφοσιοῦμαι, τὸ εἰκὸς ἀποδίδωμι. τοῦτο δὲ καὶ ἀπὸ δοτικῆς εἰς ἀπαρέμφατον.

Τὰ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Ἀγγέλλω, τὸ μηνύω, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. ὡσαύτως καὶ τὸ ἐπαγγέλλομαι, τὸ ὑπισχνοῦμαι. τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον. καὶ ἀναγγέλλω, τὸ μηνύω, καὶ ἀπαγγέλλω, τὸ τὰ παρ᾽ ἑτέρων εἰρημένα, ἢ γεγραμμένα ἀπὸ στόματος λέγω, ἢ φράζω, ἅπερ εἶδον καὶ γινώσκω. καὶ ἐπαγγέλλω, παρὰ Σωυσίῳ, τὸ οἱονεὶ παραγγέλλω, καὶ αὐτὸ τὸ παραγγέλλω. ἐπαγγέλλω δὲ τὸ ζητῶ, εἰς αἰτιατικήν. τὸ μέντοι παραγγέλλω ὃ σημαίνει τὸ πλησιάζω, εἰς δοτικήν. ὡσαύτως καὶ τὸ ἀπειλῶ τῶν ἀπειλῆς. τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον. Ἀπειλῶ δὲ, ἀντὶ μεγαλαυχοῦμαι παρ᾽ Ἀρισοφάνει, ἀμετάβατον.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Ἀγαθύνω. Ἀγαπῶ, τὸ φιλῶ. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν. καὶ ὑπεραγαπῶ, τὸ εἰς ὑπερβολὴν ἀγαπῶ. Ἀγαπῶ δὲ τὸ ἀρκοῦμαι, εἰς δοτικήν. Ἀγείρω

τὸ συναθροίζω. Ἁγνίζω, τὸ καθαίρω, τὸ ἀπανίζω, καὶ τὸ καθιερῶ. Ἀγορεύω, ἀγορεύω, τὸ δημηγορῶ, καὶ τὸ ἁπλῶς λέγω. τοῦτο δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Προσαγορεύω, τὸ χαιρετίζω. Ἀγορεύω, τὸ ἐνδίδωμι, καὶ τὸ ἀπελπίζω, καὶ τὸ ἀποπέμπομαι. Ἀπαγορεύω σοι τήνδε τὴν τροφήν, ἀντὶ τοῦ ἀπείργω σε ταύτης, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Τὸ μέντοι συναγορεύω, τὸ διαλόγου βοηθῶ. Καὶ διαγορεύω, τὸ ἐναντίον, εἰς αἰτιατικὴν μόνην.

Ἄγχω τὸ πνίγω, τὸ κλῶ, τὸ φέρω. λέγεται δὲ ἐπὶ ἐμψύχων. τοῦτο δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν διὰ μέσης προθέσεως.

Μετὰ προθέσεως.

Ἄγεται ὁ ἀνὴρ γυναῖκα, ἤγουν λαμβάνει. ἐνάγω τὸ ἐμβιβάζω, καὶ τὸ προτρέπομαι. ἐπανάγω τὸ αὖθις φέρω. Ἀντεισάγω, τὸ ἀντὶ ἑτέρου ἐκβληθέντος εἰσάγω ἕτερον. ἐπεισάγω, τὸ ἐπεισφέρω τι ἐναντίως. ἐξάγω τὸ ἐκβάλλω. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Ἀνάγω, τὸ ἀναφέρω, ὡς τό, ἀνάγεται ἡ ναῦς ἐκ τοῦ λιμένος, ὅταν ἐξ αὐτοῦ ἔρχηται. κατάγεται δέ, ὅταν ἐντὸς τούτου εἰσέρχηται. κατάγω, τὸ ἐναντίον τοῦ ἀνάγω. σημαίνει δὲ καὶ τὸ

τὸ

τὸ καταχλῶ, καὶ συντρίβω. Ἐπάγω, τὸ ἐπιφέρω. τοῦτο δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Ἐπάγομαι, τὸ μετ᾽ ἐμαυτοῦ ἐπιφέρω τινά. παράγω, τὸ ἀπατῶ, καὶ μεταπείθω. καὶ τὸ εἰς μέσον ἄγω. ἀπάγω δὲ τὸ ἀφίσταμαι, εἰς γενικήν. προσάγω δὲ, τὸ προσφέρω, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Ἀθανατίζω, καὶ ἀπαθανατίζω. Ἀθρῶ, τὸ βλέπω. Ἀθῳῶ, καὶ ἀθῳῶ σε τοῦ ἐγκλήματος, ἀντὶ τοῦ ἀθῷον ποιῶ, ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Ἀθερίζω, τὸ ἐξευτελίζω. Αἰδοῦμαι, τὸ ἐντρέπομαι. τοῦτο ἢ καὶ εἰς ἀπαρέμφατον. Αἰνῶ, τὸ διὰ λόγου ἐπαινῶ, καὶ ἀποδέχομαι. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, καὶ ἀντιστρόφως. Αἱμάσσω. Αἰνίττομαι, τὸ συμβολικῶς δηλῶ, ἤγουν αἰνιγματωδῶς. Αἴρω, τὸ ἐπαίρω, τὸ ὑψῶ, τὸ ἀφανίζω. Ἐξαίρω, τὸ ὡς ἐξαίρετον ἄγω, τὸ ἀνατρέπω, καὶ τὸ ὑπερβάλλω. Ἐπαίρω τὸ ἐγείρω, καὶ ἀναπείθω, καὶ ἐπαίρομαι τὸ βαστάζω, εἰς παθητικὸν παρακείμενον, ὡς τὸ, ὕλην ἐπηρμένος παρὰ Ἀριστείδῃ. συναίρομαι δὲ, τὸ βοηθῶ, καὶ ἀνταίρω, τὸ φιλονεικῶ. Αἱρῶ, τὸ κρατῶ καὶ καταβάλλω. αἱροῦμαι τὸ βούλομαι καὶ προκρίνω. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς

γενι-

γενικὴν, καὶ εἰς ἀπαρέμφατον. ὁμοίως καὶ τὸ περιαιροῦμαι, ὅπερ δηλοῖ ὅταν δύο προκειμένων, τὸ ἓν προτιμῶ. ἀναιρῶ, τὸ φονεύω καὶ τὸ ἐκβάλλω, καὶ τὸ μαντεύομαι παρὰ Πλάτωνι. περιαιρῶ, τὸ ἐκβάλλω. διαιρῶ, τὸ οἰκονομῶ. καὶ τὸ διαχωρίζω, καὶ παραιροῦμαι, τὸ ἀφαιρῶ. τὸ μέντοι ἀφαιρῶ καὶ ἀφαιροῦμαι, ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν, καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, καὶ ἀπὸ γενικῆς εἰς αἰτιατικὴν, καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Αἰσθάνομαι, τὸ νοῶ. τοῦτο δὲ καὶ εἰς μετοχήν. Αἰσχύνομαι, καὶ καταισχύνω ἕτερον, καὶ αἰσχύνομαι, τὸ ἐντρέπομαι. τοῦτο δὲ εἰς ἀπαρέμφατον. Αἰτῶ τὸ ζητῶ, ὃ καὶ αἰνοῦμαι παρά τισιν. Αἰτῶμαι, τὸ μέμφομαι. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, καὶ ἀντιστρόφως. οἷον αἰτιῶμαι τόδε τοῦδε, ἤγουν αἴτιον νομίζω. Ἀκριβῶ τήνδε τὴν τέχνην, ἤγουν ἀκριβῶς ἐπίσταμαι. Ἀλεείνω τὸ ἐκφεύγω. Ἁλίσκω τὸ ἀγρεύω, καὶ τὸ νικῶ. Ἀλληγορῶ, τὸ ἀναβιβάζω, καὶ ἐναλλάττω. Ἀλοῶ, τὸ συντρίβω, καὶ ἀπὸ τῶν ἅλων πατῶ τοὺς στάχυας. Ἀμαυρῶ, ὃ καὶ ἀμαυρύνω λέγεται. σημαίνει δὲ τὸ ἀφανίζω.

Ἀμφισβητῶ, καὶ ἀμφισβητῶ σοι τῆς ἀρχῆς, ἤγουν

ἤγουν περὶ τῆς ἀρχῆς, ἀπὸ δοτικῆς εἰς γενικήν.

Ἀμείβω, παραμείβω, τὸ παρέρχομαι. Ἀμείβομαι δὲ, τὸ ἀποκρίνομαι, εἰς δοτικήν. Ἀέλγω. λέγεται δὲ κυρίως τὸ ἀποσπῶν ἀώρους τοὺς καρποὺς παρὰ τὸν προσήκοντα καιρόν. Ἀναχαιτίζω, τὸ ἀναποδίζω καὶ ἐκκόπτω. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Ἀνδραποδίζομαι, καὶ ἐξανδραποδίζομαι, τὸ δουλοποιῶ.

Ἀνασειράζω τὸν ἵππον, ἤγουν ἀναχαιτίζω.

Ἀναίνομαι, τὸ ἀρνοῦμαι. τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον. Ἀναπεμπάζομαι, τὸ ἀναλογίζομαι. Ἀναπολῶ, τὸ αὐτό. Ἀναλῶ, τὸ ἀφανίζω, καὶ τὸ ἀναιρῶ παρὰ Θουκυδίδῃ. Ἀξιῶ, τὸ παρακαλῶ, καὶ τὸ τιμῶ. ἐπὶ τῆς πρώτης δὲ σημασίας καὶ εἰς ἀπαρέμφατον. Ἀξιῶ δὲ, τὸ ἄξιον κρίνω, καὶ ἀπαξιῶ, τὸ οὐ κρίνω ἄξιον, ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Ἀπατῶ, καὶ ἐξαπατῶ. Ἀποκναίω, τὸ λυπῶ. ἅπτω, καὶ ἀνάπτω πῦρ. Ἅπτω δὲ πῦρ, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Ἅπτω βρόχον. Ἀπόλλυμι. Ἀπολογοῦμαι, τὰ ἐπὶ τῷ λόγῳ τὴν κατηγορίαν ἀποσκιάζομαι. Ἀποσομίζω, τὸ ἀποφθέγγομαι. Ἀποφαυλίζομαι. τὸ ἐξουτελίζω. Ἄρδω, τὸ ποτίζω καὶ ἀρδεύω, τὸ αὐτό.

τό. Ἀριθμῶ, καὶ ἐξαριθμῶ, ὃ καὶ ἐξαριθμοῦμαι γράφεται. Ἀρθρῶ, καὶ ἐξαρθρῶ, καὶ διαρθρῶ. Ἀρτύομαι, τὸ κατασκευάζω, καὶ ἐξαρτύομαι, τὸ αὐτό. Ἀσκῶ, τὸ κοσμῶ, καὶ μετὰ ἐπιμελείας ποιῶ. Ἀσπάζομαι, ὅπερ ποτὲ μὲν δηλοῖ τὴν φιλικὴν διάθεσιν, ποτὲ δὲ τὴν σωματικὴν ἐνέργειαν. Ἀσφαλίζομαι, τὸ φυλάττω. Αὐγάζω, καὶ καταυγάζω. Αὐχενίζω, τὸ τὸν αὐχένα κόπτω. Αὐτουργῶ, τὸ οἰκείαις χερσὶν ἐργάζομαι. Αὐτοσχεδιάζω, τὸ διαλέγομαι, καὶ τὸ ψεύδομαι. Ἀφανίζω, τὸ ἀπόλλυμι καὶ φθείρω παντελῶς. Ἀφυπνίζω, καὶ διυπνίζω, τὸ αὐτό. Ἀχρειῶ.

Τὰ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν μετὰ προθέσεως.

Ἀλλάττομαι, καὶ ἀνταλλάττομαι, καὶ καταλλάττομαι, τὸ ἀνθ᾽ ἑτέρου ἕτερον λαμβάνω, καὶ ἀπαλλάττω, τὸ ἐλευθερῶ. ἀπαλλάττω δὲ τὸ διάγω, ἀμετάβατον. ἀπαλλάττω δὲ τὸ ἀποστῆναί τινα πείθω, καὶ παραλλάττω, τὸ ἐναλλάττω, καὶ τὸ παρέρχομαι παρὰ Συνεσίῳ. ἐναλλάττομαι, καὶ συναλλάττομαι παρὰ Θουκυδίδῃ. τὸ διαλλάττομαι, καὶ αὐτὸ τὸ διαλλάττομαι, καὶ καταλλάττομαι, εἰς δοτικήν.

τὸ

τὸ μὲν τοι ἀπαλλάττομαι, τὸ ἀφίσαμαι, καὶ διαλλάττω τὸ διαφέρω, εἰς γενικήν.

ἈΡΧῊ ΤΟῦ Β.

ΤᾺ ἈΜΕΤΆΒΑΤΑ.


Αδίζω, τὸ ἁπλῶς περιπατῶ, καὶ βαδίζω εἰς τὴν πόλιν, μεταβατικὸν εἰς αἰτιατικὴν, διὰ μέσης προθέσεως.

Βαίνω τὸ ἵσαμαι, ἐξ οὗ καὶ βάσις. καὶ βαίνω τὸ πορεύομαι, ἐξ οὗ καὶ ποδῶν βήματα. διαβαίνω δὲ καὶ ὑπερβαίνω, καὶ καταβαίνω, μεταβατικὰ εἰς αἰτιατικήν. τὸ δὲ καταβαίνω, καὶ εἰς αἰτιατικήν. Ἀναβαίνω δὲ ἐπὶ τὸν ἵππον, καὶ ἐκβαίνω καὶ ἐμβαίνω εἰς τὴν ναῦν, μεταβατικὰ καὶ αὐτὰ εἰς αἰτιατικὴν, διὰ μέσων προθέσεων. ἐπιβαίνω δὲ νεὼς καὶ ἀποβαίνω ἵππου, εἰς γενικήν. Βαΐζει τὰ σκυλάκια. Βακχεύω, τὸ μαίνομαι. Βαττολογῶ. Βιώσκω, τὸ ζῶ, καὶ ἀναβιώσκω, τὸ ἀναζῶ. Βλύζει τὸ ὕδωρ ἐπὶ πηγῆς, καὶ ἀναβλύζει. Βομβῶ, τὸ ἠχῶ, κυρίως ἐπὶ μελισσῶν. Βουβωνιῶ, τὸ φλεγμαίνω περὶ βουβῶνας. Βουκολῶ, ἀντὶ τοῦ βουκόλος εἰμί. Βουκολῶ δὲ τὸ τρέφω, καὶ ἀποβουκολῶ, τὸ ἀποπλανῶ, καὶ διαβουκολῶ, τὸ ἀπατῶ, μεταβατικὰ εἰς αἰτιατικήν. Βυλιμῶ, τὸ μεγάλως πινῶ.

Βράζει

Βράζει τὸ ὕδωρ θερμαινόμενον. Βρέμει τὸ πῦρ, ἀντὶ τοῦ ἠχεῖ. Βρενθύομαι, τὸ ἐπαίρομαι, ἢ προσποιοῦμαι ὀργίζεσθαι. Βρύθει δὲ, ἀντὶ τοῦ βαρύς ἐστι. Βροντᾷ, ἀπὸ βροντῆς. καταβροντᾷ δὲ, ἀντὶ τοῦ πλήττει ἄλλος ἄλλον, μεταβατικὰ εἰς αἰτιατικήν. Βρύχει ὁ λέων, ἤγουν βρυχᾶται. Βρύχει δέ τις σὺν ὀδόντας, ἀντὶ τοῦ πρίει, μεταβατικὸν εἰς αἰτιατικήν. Βρωμᾶται ὁ ὄνος, ἤγουν ὀγκᾶται.

Τὰ μεταβαίνοντα εἰς γενικήν.

Βασιλεύω, τὸ ἄρχω. βασιλεύω δὲ, τὸ βασιλέα ποιῶ, εἰς αἰτιατικήν.

Τὰ μεταβαίνοντα εἰς δοτικήν.

Βασκαίνω, τὸ φθονῶ. βασκαίνω δὲ τὸ μέμφομαι καὶ διαβάλλω, εἰς αἰτιατικήν.

Βοηθῶ. Βρύει τοῖς καρποῖς τὸ δένδρον, ἀντὶ τοῦ ἀνθεῖ, καὶ θάλλει. Βραβεύω δὲ, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Βαθύνω. βάλλω λίθον, ἤγουν πέμπω, καὶ βάλλω τὸ τιτρώσκω. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν. οἷον βάλλω τὸν γεώργιον λίθοις.

Μετὰ

Μετὰ προθέσεων.

Ἐκβάλλω, συμβάλλω, ὃ καὶ συμβάλλομαι γράφεται. σημαίνει δὲ τὸ συνάγω, καὶ τὸ στοχάζομαι. συμβάλλω δὲ, τὸ συμπλέκω. Προβάλλομαι, τὸ προφασίζομαι, προβάλλομαι τινὰ μάρτυρα, ἤγουν βοηθὸν, ἢ πρόβολον ποιοῦμαι. Καταβάλλω, τὸ καθαίρω, καὶ τὸ δίδωμι, ὡς τὸ, κατέβαλε τὸ ἀργύριον. καὶ καταβάλλομαι θεμέλιον, ἢ πίστιν. Διαβάλλω. εὕρηται δὲ καὶ ἀντὶ τοῦ ἐξαπατῶ, παρὰ Θουκυδίδῃ. Παραβάλλω δὲ, τὸ ἐξετάζω, ἀπὸ αἰτιατικῆς εἰς δοτικήν. Παραβάλλω δὲ, τὸ πλησιάζω εἰς δοτικήν. τὸ μὲν τοι παραβάλλω ἀντὶ τοῦ ἔρχομαι. καὶ παραβάλλομαι τὸ ῥιψοκινδύνως τι ποιῶ, ἀμετάβατον, καὶ μεταβατικὸν παρὰ Συνεσίῳ, διὰ μέσης προθέσεως. Βασανίζω, τὸ ἀκριβῶς ἐξετάζω, ἢ διὰ λόγων, ἢ διὰ τιμωρικῶν ὀργάνων. Βαρύνω. Βδελύττομαι, τὸ μισῶ. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Βιάζομαι δὲ τὸ κινδυνεύω, τὸ δυναστεύω. τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον. Βινῶ, τὸ συνουσιάζω. Βλασφημῶ. Βλέπω, τὸ ὁρῶ, καὶ βλέπω, τὸ θαῤῥῶ, διὰ μέσης προθέσεως τῆς, εἰς. καὶ βλέπω, τὸ προφητεύω, καὶ βλέ-

πω σε τοῖς ὀφθαλμοῖς. ὑποβλέπω, τὸ ταπεινὸν βλέπω. Βούλομαι τὸ θέλω, ὅπερ δὲ καὶ εἰς ἀπαρέμφατον. ὡσαύτως καὶ τὸ συμβούλομαι, καὶ διαβούλομαι τὸ ἀναπείθω, παρὰ Θουκυδίδῃ. Βόσκω, τὸ τρέφω. Βραχύνω, τὸ σμικρύνω, Βρωματίζω. Βύω, τὸ τὰ ὦτα ἀσφαλίζω.

ΑΡΧΗ ΤΟΥ. Γ.

ΤΑ ΑΜΕΤΑΒΑΤΑ.



Γαίω, τὸ διαχέομαι, τὸ γαυροῦμαι, καὶ τὸ λαμπρύνομαι. Γαληνιᾷ ἡ θάλασσα, ἀντὶ τοῦ ἡσυχάζει. Γαμεῖ τίς, ἀντὶ τοῦ γάμον ἔχει, καὶ γαμεῖ τήνδε, ἀντὶ τοῦ εἰς γάμον λαμβάνει, μεταβατικὸν εἰς αἰτιατικήν. Γανοῦμαι, τὸ ἡδονῆς καὶ χαρᾶς πληροῦμαι. Γελῶ, ἐπὶ τοῦ κατὰ φύσιν γέλωτος. Γελῶ δὲ ἕτερον, καὶ ἐγγελῶ, καὶ διαγελῶ, καὶ προσγελῶ, τὸ ἀπατῶ, καὶ διαβάλλω, μεταβατικὰ εἰς αἰτιατικήν ὁμοίως καὶ τὸ καταγελῶ, ὅπερ δὲ εἰς γενικήν. Γεωμετρῶ. Γεωργῶ. Γεωργῶ δὲ τὴν γῆν, μεταβατικὸν εἰς αἰτιατικήν. Γήθομαι, τὸ χαίρω. Γηρῶ. Γηράσκω, τὸ αὐτό. Γίνομαι. συγγίνομαι δὲ τῶν ἀγαθῶν,

θῷ, μεταβατικὸν εἰς δοτικήν. ὡσαύτως καὶ τὸ προσγίνομαι τόδε, ἤγουν νικῶ, μεταβατικὸν εἰς γενικήν. Γηρύω, τὸ φωνῶ. Γνωσιμαχῶ, τὸ διά τι προσγεγονὸς ἐμαυτῷ μάχομαι, ὅπερ ἐστὶ τὸ εἰργασάμην. Γράφω, τὸ ἁπλῶς γράφω. γράφω τὸ ζωγραφῶ, μεταβατικὸν εἰς αἰτιατικήν. γράφω δέ σοι τὰ πραχθέντα, ἀεὶ μεταβατικὸν ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. ἔστι δὲ καὶ ἀντιστρόφως ἀπὸ αἰτιατικῆς εἰς δοτικὴν λαμβανόμενον, ἀντὶ τοῦ γνωρίζω. οἷον γράφω σε τοῖς πολίταις. ὡσαύτως καὶ τὸ γράφομαι, ὃ σημαίνει τὸ κατηγορῶ, ἐπὶ μόνου τοῦ πρώτου μέσου ἀορίστου.

Μετὰ τῶν προθέσεων.

Καὶ διαγράφω, ὃ σημαίνει τὸ ἀπαλείφω, ἀπὸ αἰτιατικῆς εἰς γενικήν. οἷον διαγράφω σε τοῦ πταίσματος. σὺν τούτοις καὶ τὸ γράφομαι, τὸ λογίζομαι, καὶ τὸ ὁμολογῶ. Καὶ ἐπιγράφω, τὸ βεβαιῶ. καὶ ἐπιγράφομαι τὸν δεσπότην, ἤγουν ὁμολογῶ. καὶ συγγράφω, ὃ σημαίνει τὸ γραφῇ παραδίδωμί τινα γενόμενα. Γρυλίζει ὁ χοῖρος. Γυμνητεύω. Γυμνοῦμαι. τὸ ὑπὸ ἐμαυτοῦ γυμνάζομαι,

Τὰ μεταβαίνοντα εἰς γενικήν.

Γέμω σοφίας. γεύομαι τοῦ οἴνου. γλίχομαι τὸ ἐπιθυμῶ. ἔστι δὲ καὶ εἰς ἀπαρέμφατον.

Τὰ μεταβαίνοντα εἰς δοτικήν.

Γειτονῶ. γειτονεύω. γειτνιῶ, τὸ πλησιάζω. γειτνιάζω, τὸ αὐτό.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Γαλουχῶ, τὸ βρέφω. γαμετοστολῶ. γαργαλίζω τὸ ἐρεθίζω διὰ στόματος ὥστε ἐμέσαι, καὶ ἀπὸ τούτου, τὸ εὐφραίνω ἀπατῶν. γεννῶ, ὅπερ λέγεται κυρίως ἐπὶ ἀνδρῶν. καὶ γεννᾷ ὁ Πλάτων τὸν οὐρανὸν, αὐτὶ τοῦ γενητὸν λέγει. γεραίρω τὸ ὑμνῶ, καὶ τὸ τιμῶ. γεφυρῶ. γεῶ. γηροβοσκῶ, τὸ ἐν γήρᾳ τρέφω τινὰ, ἀπὸ μεταφορᾶς τῶν βοσκομένων ζώων. γινώσκω, τὸ νοῶ, καὶ ἐπίσταμαι. ἔστι δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν, καὶ εἰς ἀπαρέμφατον, καὶ ἔτι εἰς μετοχήν.

Μετὰ τῶν προθέσεων.

Ἀναγινώσκω, τὸ βιβλίον διέξειμι. καὶ τὸ ἀναγνωρίζω, καὶ ἀναπείθω παρ' Ἡροδότῳ. διαγινώσκω, τὸ ἀκριβῶς καὶ ἐπιστημονικῶς

στημονικῶς ἐπίσταμαι. ὑπεργινώσκω, τὸ κατὰ πολὺ γινώσκω. σὺν τούτοις καὶ τὸ ἀναγινώσκω, καὶ παραγινώσκω. ταῦτα δὲ καὶ εἰς γενικὴν, οἷον ἀναγινώσκω τοῦδε, καὶ παραγινώσκω τοῦ δικαίου, τουτέστι, παρὰ τὴν γνῶσιν αὐτοῦ πολιτεύομαι. συγγινώσκω δὲ εἰς δοτικὴν, καὶ ἀπὸ δοτικῆς εἰς γενικήν. τὸ μέντοι καταγινώσκω, ἀπὸ γενικῆς εἰς αἰτιατικήν. Γλυκαίνω. Γλύπτω. Γνάμπτω, τὸ ἀνακάμπτω, καὶ ἀπὸ γναφῆς. Γνωρίζω, τὸ νοῶ, ἐξ οὗ ἀναγνωρίζω. Γνωρίζω δὲ, ἀντὶ τοῦ γνώριμον ποιῶ ἕτερον ἑτέρῳ, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Γυμνάζω. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν. προσγυμνάζομαι δὲ, εἰς δοτικήν. Γυμνῶ, τρίτης συζυγίας τῶν περισπωμένων, τὸ γυμνὸν ποιῶ. τοῦτο δὲ ἔστιν ἀπὸ αἰτιατικῆς εἰς γενικήν. ὁμοίως δὲ καὶ τὸ γεμίζω, ἀπὸ αἰτιατικῆς ἀεὶ εἰς γενικήν.

ΑΡΧΗ ΤΟΥ Δ.

ΤΑ ΑΜΕΤΑΒΑΤΑ.



Ακρύω, τὸ δάκρυα χέω. δακρύω δὲ τὸν ἀποθανόντα, μεταβατικὸν εἰς αἰτιατικήν. ὡσαύτως καὶ τὸ δακρύω περὶ ἀναισθησίας, ἀπὸ αἰτιατικῆς εἰς

γενικὴν συντασσόμενον, καὶ ἀντιστρόφως ἀπὸ γενικῆς εἰς αἰτιατικήν. Δαιμονῶ ἀντὶ τοῦ ὅρας συζυγίας τῶν παθητικῶν, τὸ δαιμονίως κατέχομαι. Δαπανάζω τὸ δαπανῶ. τοῦτο δὲ καὶ μεταβατικὸν εἰς αἰτιατικήν. Δεινάζω, τὸ βλασφημῶ, ἢ κακὰ λέγω. Δεκάζομαι, τὸ δωροδοκῶ. Δέφομαι, τὸ ταῖς χερσὶν ἀσελγαίνω. Δειλαίνω, τὸ δειλός εἰμι, ἤγουν ἄκαρδιος καὶ οὐκ ἀνδρεῖος. Δημηγορῶ. Δηθύνω, τὸ βραδύνω. Διαπρέπω, ἀντὶ τοῦ μάλιστα καὶ πρεπόντως διάγω. Διαπρέπω δὲ παρ' Ἴωσι, ἀντὶ τοῦ καλλωπίζω παρὰ Πλάτωνι, μεταβατικὸν εἰς αἰτιατικήν. Δικαιοδοτῶ, τὸ δίκαια δίδωμι. Διψῶ, περὶ δίψης. Διψῶ δὲ σὺν λόγοις, μεταβατικὸν εἰς αἰτιατικὴν, καὶ ἔτι εἰς γενικὴν, ἀντὶ τοῦ ἐπιθυμίαν ἔχω λαμβανόμενον.

Δογματίζω, τὸ θεολογῶ, καὶ τὸ νομοθετῶ. τοῦτο δὲ καὶ μεταβατικὸν εἰς αἰτιατικήν.

Μετὰ προθέσεων.



Δ Υσαρεστῶ. Δυσαπλοῶ. Δυστυχῶ. Δυσ ὀκνῶ. Δυσφορῶ, τὸ δυσκόλως φέρω. Δύω ὁ ἥλιος, ἤγουν δύνει. τοῦτο δὲ συναπτόμενον προθέσεσι, γίνεται μεταβατικὸν, ἄλλης καὶ ἄλλης σημασίας γινόμενον, οἷον ἐνδύω, ἐκδύω,

διαλύω, περιλύω, καὶ καταλύω τὸ καταποντί-
ζω, ἄλλα εἰς αἰτιατικὴν μεταβαίνει, καὶ ἀπὸ αἰ-
τιατικῆς εἰς αἰτιατικὴν, ἄνευ τοῦ καταλύω.
τοῦτο γὰρ εἰς αἰτιατικὴν μόνην. σὺν τούτοις καὶ
ἀπολύω, τὸ ὑπεξέρχομαι, εἰς δοτικὴν μετα-
βαῖνον. τὸ μέντοι ἐνδιαλύομαι, καὶ ἀπολύομαι,
τὸ ἐναντίον τούτου, καὶ ἀναλύομαι, ὅπερ λέγε-
ται ἐπὶ τῶν ἀπεκδυσαμένων, καὶ εἰς ἀγῶνα ὁρ-
μησάντων, εἶτα διὰ δέος ὑποφυγόντων τὸν
ἀγῶνα, καὶ ἐνδυσαμένων. ὅτε μὲν εἰσὶν ἀμε-
τάβατα, ὅτε δὲ εἰς αἰτιατικὴν μεταβαίνουσιν.

Τὰ μεταβαίνοντα εἰς
γενικήν.


Ωροδοκῶ, τὸ δῶρα δέχομαι. Δεσπό-
ζω σου, ἡγοῦμαι κυριεύω σου. Δράττο-
μαι. Δισάζω δὲ καὶ ἐνδισάζω, διὰ μέσης
προθέσεως τῆς, περί. οἷον δισάζω περὶ τοῦδε
τοῦ πράγματος.

Τὰ μεταβαίνοντα εἰς δοτικήν.


Εικνύω, καὶ δείκνυμι τὸ αὐτὸ, τὸ δὲ
καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. ἐ-
πιδεικνύω δὲ, τὸ παρρησιάζω, καὶ δεικνύω ἐ-
μαυτὸν, εἰς αἰτιατικήν. Δασμοφορῶ. Δια-
κονῶ, ὃ καὶ διακονοῦμαι γράφεται. Διαπληκτί-

ζομαι. Δυλδύω. Δυσαρεστοῦμαι. Δυσκολαίνω. Δυσχαιρεγύω, τὸ λυποῦμαι. Δωροφορῶ.

Τὰ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Δ Ανείζω. Δηλῶ, τὸ παραδηλῶ. Δωροῦμαι. τοῦτο δὲ καὶ ἀντιστρόφως ἀπὸ αἰτιατικῆς εἰς δοτικήν. Δίδωμι καὶ δίδομαι, τὸ αὐτό.

Μετὰ προθέσεων.

Π Ροδίδωμι, καὶ καταπροδίδωμι, ἐπὶ προδοσίας. Ἀποδίδωμι, καὶ ἀνταποδίδωμι, ὅταν τινὸς προκατέχω τὶ ἀποδώσω. Ἐπιδίδωμι δὲ, τὸ αὔξησιν λαμβάνω, καὶ συνδίδωμι, τὸ ὑποχαλῶ. Ἀναδίδωσι δὲ ἡ γῆ βοτάνας, ἀντὶ τοῦ ἀναβλαστάνει, καὶ ἀναπέμπει. καὶ ἀναδίδομαι, τὸ ἀναλαμβάνω, εἰς μόνην αἰτιατικήν. τὸ μὲν τοι μεταδίδωμι ἀπὸ δοτικῆς εἰς γενικὴν ἔχει τὴν σύνταξιν.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Δ Αίνυμαι, τὸ δυωχοῦμαι. Δαίρω, τὸ τύπτω. Δαιδρεύω, τὸ μαστιγρεύω. Δάκνω, τὸ λυπῶ. Δαίω, τὸ ἐπίσταμαι, καὶ μερίζω, καὶ διωχῶ, καὶ καίω. Δαμάζω, τὸ πληγαῖς μαλάσσω.

Δαπανῶ,

Δαπανῶ, δευτέρας συζυγίας τῶν περισπωμένων, τὸ καταναλίσκω, καὶ τὸ εἰς μεγάλα ἀναλώματα ἐμβάλλω τινά, παρὰ Θουκυδίδῃ.

Δασμολογῶ. Δεδίττομαι, τὸ ἐκφοβῶ ἕτερον. Δεκατεύω, τὸ τὴν δεκάτην ἐκλέγω, ἢ δίδωμι. Δεξιοῦμαι, τὸ ξενοδοχῶ, καὶ φιλοφρονοῦμαι. Δελεάζω τοὺς ἰχθύας, ἀντὶ τοῦ ἀπατῶ, ἀφ' οὗ καὶ τό, τὴν Εὔαν ἐδελέασεν. Δέρω, τὸ ἐκδέρω. Δεσμῶ, δεσμεύω. Δέχομαι.

Μετὰ προθέσεων.

Ἐκδέχομαι, τὸ ἀναδέχομαι, καὶ ἀναλαμβάνω. τίθεται δὲ καὶ εἰς αἰτιατικὴν παρὰ Δημοσθένει. ἐκδέχομαι, τὸ ὑπομένω, καὶ προσδοκῶ. τίθεται δὲ καὶ εἰς ἀπαρέμφατον. Ἀναδέχομαι, τὸ ἀναλαμβάνω. Δέω, καὶ καταδέω, τὸ δεσμῶ. Δέω δέ, τὸ λείπομαι, καὶ δέομαι τὸ παρακαλῶ, καὶ δέομαι τὸ χρείαν ἔχω, εἰς γενικήν. Δημοσιεύω καὶ δημεύω, τὸ αὐτό. Δηῶ, τὸ ἀγρὸς ἀφανίζω. Διαβαφῶ, τὸ βαφιζω. τίθεται καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Διέπω, τὸ διοικῶ. Δίζομαι ποιητικῶς, τὸ ψηλαφῶ. διφῶ, τὸ αὐτό. Διαίνω, τὸ βρέχω, καὶ ὑγραίνω. Διεκωλύσατό τις παρθένον, ἀντὶ τοῦ ἔφθειρεν. Διαρτίζω, τὸ τελῶ. Διδάσκω, ὃ καὶ διδάσκομαι

σημαίνει παρὰ Λουκιανῷ. τοῦ δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν. Διυπνίζω, τὸ ἐξανιστῶ. Διώκω, τὸ ἀπωθοῦμαι, καὶ τὸ ζητῶ. Δοκιμάζω, τὸ πείρομαι, καὶ τὸ δόκιμον κρίνω. καὶ ἀποδοκιμάζω, τὸ ἀδόκιμον κρίνας ἀπορρίπτω.

Δοξάζω τὸ ὑπολαμβάνω, καὶ δοξάζω, τὸ τιμῶ. Δορυφορῶ, τὸ μεθ' ὅπλων προπέμπω τινά. Δοκῶ, τὸ νομίζω καὶ τὸ φαίνομαι, καὶ προσδοκῶ, τὸ αὐτό. λέγεται δὲ ἐνίοτε μὲν ἐπὶ καλοῦ, ἐνίοτε δὲ ἐπὶ κακοῦ. τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον. ἔτι δὲ τὸ μὲν δοκῶ, πρώτης συζυγίας τῶν περισπωμένων, τὸ δὲ προσδοκῶ, δευτέρας.

Δραπετεύω, τὸ φεύγω. Δρωπακίζω, τὸ συνάγω καὶ τὸ ξυρῶ. Δρῶ, τὸ πράττω. Δροσίζω. Δυναστεύω. Δυσφημῶ. Δυναμῶ, τρίτης συζυγίας τῶν περισπωμένων, καὶ ἐνδυναμῶ. Δυσχεραίνω, τὸ λυποῦμαι. Δεξιοῦμαι, ἀπὸ αἰτιατικῆς εἰς δοτικήν. Δύναμαι δὲ, εἰς ἀπαρέμφατον. οἷον οὐδὲν ἄλλο δύναμαι ποιεῖν, εἰ μὴ ὑμνεῖν τὸν θεόν.

ἈΡΧῊ ΤΟΥ͂ Ε.

ΤᾺ ἈΜΕΤΆΒΑΤΑ.



Ἐθελοκακῶ. Ἐθελοκωφῶ. Εἰμὶ, τὸ ὑπάρχω.

Μετὰ τῶν προθέσεων.

ΠΆρειμι, ἀντὶ τοῦ παρών εἰμι, καὶ περίειμι, ἀντὶ τοῦ ἔτι ζῶ. ὁμοίως καὶ τὸ ἔστιν, ἀντὶ τοῦ ὑπάρχει, καὶ πάρεστιν, ἀντὶ τοῦ παρών ἐστι, καὶ ἀντὶ τοῦ παροῦσα ἐστὶ, καὶ ἀντὶ τοῦ παρόν ἐστι. ταῦτα δὲ καὶ μεταβατικὰ εἰς δοτικήν. σὺν τούτοις καὶ τὸ περίεστιν, ἀντὶ τοῦ ἔτι ζῇ, καὶ ἄπεστιν, ἀντὶ τοῦ μακρὰν ἐστι, καὶ ἔνεστιν, ἀντὶ τοῦ δυνατόν ἐστι, καὶ ἔξεστιν, ἀντὶ τοῦ ἄδειά ἐστι, καὶ ἔπεστιν, ἀντὶ τοῦ ἐξουσία ἐστὶ, καὶ πρόσεστιν, ἀντὶ τοῦ σὺν ἄλλοις ἐστὶν, ἀεὶ μεταβατικὰ εἰς δοτικὴν καὶ εἰς ἀπαρέμφατον. ὡσαύτως καὶ τὸ σύνεστιν, ἀντὶ τοῦ ὑπάρχει καὶ ὁμιλεῖ, καὶ διαλέγεται, καὶ συντυγχάνει, εἰς δοτικὴν μόνην. τὸ μέντοι μέτεστι, καὶ περίεστιν, ἀντὶ τοῦ ἐκ περιουσίας ἐστὶν, ἀπὸ δοτικῆς εἰς γενικήν. Εἴδομαι, τὸ φαίνομαι. Εἰλαπινάζω, τὸ εὐωχοῦμαι. Ἑλληνίζω, τὸ ἑλληνικῶς φθέγγομαι.

Ἑλληνίζω δὲ ἕτερον, ἀντὶ τοῦ ἑλληνικὸν αὐτὸν ἔχειν ποιῶ, μεταβατικὸν εἰς αἰτιατικήν. Ἐαρίζω, τὸ ἔαρ ποῦ διάγω. Ἐνθουσιῶ, τὸ ὑπὸ θεοῦ κατέχομαι πνεύματος. Ἑορτάζω, τὸ ἁπλῶς ἑορτὴν ἄγω. ἑορτάζω δὲ τοῦ παιδὸς γάμους, μεταβατικὸν εἰς αἰτιατικήν. Ἐπιορκῶ, τὸ ἐπάνω τῶν ὅρκων γίνομαι. Ἐπιχωριάζω, τὸ ἐπί τινος χώρου διατρίβω. Ἐρέσσω τὸ κωπηλατῶ. Ἐρεύγο

μαι, λέγεται ἢ τοῦ μετὰ τῆς πεφλῶ. Ἐρυθριῶ. τὸ βάπτομαι τὸ χρῶμα τοῦ προσώπου αἰδούμενος. καὶ ἀπερυθριῶ, τὸ ἐναντίον τούτου. ταῦτα δὲ καὶ μεταβατικὰ εἰς ἀπαρέμφατον. Ἐρεσχελῶ, τὸ φλυαρῶ, καὶ τὸ πολυλογῶ, καὶ τὸ ἐρίζω. Ἐσθίω, τὸ τρώγω. ἐσθίω δὲ ἄρτον, μεταβατικὸν εἰς αἰτιατικήν. Εὐδοξῶ, τὸ καλὴν δόξαν ἔχω. Εὕδω, καὶ καθεύδω, τὸ κοιμῶμαι, καὶ τὸ ἠρεμῶ. Εὐθυνῶ, τὸ πλουτῶ. Εὐδοκιμῶ, τὸ καλῶς εἰμι δόκιμος, τουτέστιν εὐδόκιμος. Παρευδοκιμῶ, τὸ νικῶ, μεταβατικὸν εἰς αἰτιατικήν. Εὐπλοῶ, τὸ καλῶς πλέω. Εὐνομοῦμαι, καὶ ἐννομοῦμαι, τὸ κατὰ νόμους πολιτεύεσθαι καὶ διάγειν. Εὐπαθῶ. Εὐπραγῶ. Εὐφορῶ. Εὐροῶ. Εὐρωστῶ. Εὐσεβῶ. Εὐσωματῶ. Εὐωχοῦμαι, τὸ ἐσθίω. Ἐχεμυθῶ, τὸ τὰ ἀπόρρητα σιωπῶ.

Τὰ μεταβαίνοντα εἰς γενικήν.

Ἐξουσιάζω σοῦ. Ἐπιμελοῦμαι, ἐπιμέλομαι, τὸ αὐτό. Ἐπιθυμῶ. τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον. Ἐνδοιάζω δὲ διὰ μέσης προθέσεως τῆς, περί. Ἐγκρατεύομαι, διὰ μέσης προθέσεως καὶ αὐτὸ τῆς, ἀπό.

Τὰ

Τὰ μεταβαίνοντα εἰς δοτικήν.

Ἐγγίζω, τὸ πλησιάζω. Ἐγχείρομαι, τὸ αὐτό. Ἐγκοτῶ. Εἴκω, τὸ ὑποτάσσομαι. Ἐκαλῶ ποιητικῶς, τὸ αὐτό.

Μετὰ προθέσεων.

Ἐμβριμῶμαι. Ἐνεδρεύω, Συνεδρεύω, Παρεδρεύω, προσεδρεύω. Εἰπεῖν, τὸ δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν, καὶ εἰς ἀπαρέμφατον. Ἐπειπεῖν δὲ, τὸ μετὰ τὸν λόγον ἕτερον εἰπεῖν λόγον. καὶ προσεπειπεῖν, τὸ μετὰ δεύτερον λόγον καὶ τρίτον εἰπεῖν. καὶ ἀνειπεῖν, ἀντὶ τοῦ ἀναγορεῦσαι, καὶ ἀντὶ τοῦ ἀναβοῆσαι παρὰ Θουκυδίδου. ὁμοίως δὲ καὶ τὸ ἐπανειπεῖν, ἀντὶ τοῦ κηρύξαι, παρὰ τῷ αὐτῷ εἰς αἰτιατικήν. Ἐναντιοῦμαι. Ἕπομαι, τὸ ἀκολουθῶ. Ἐπηρεάζω, τὸ ἐνοχλῶ καὶ βλάπτω. Ἐπιπολάζω, τὸ ὑπερπλέω. Ἐποφθαλμίζω. Ἐρίζω, τὸ φιλονεικῶ. Εὐαγγελίζω, τὸ εὐαγγελίζομαι. τοῦτο δὲ καὶ εἰς αἰτιατικήν. Εὔχομαι τῷ ἀνθρώπῳ, ἤγουν ὑπὲρ αὐτοῦ εὔχομαι, καὶ εὔχομαι τὸ καταρῶμαι, ταῦτα δὲ καὶ εἰς ἀπαρέμφατον.

Μετὰ προθέσεων.

Κατεύχομαι δέ σου, ἀντὶ τοῦ καταρῶμαι. καὶ ὑπερεύχομαι, τὸ ὑπέρ τινος εὔχομαι, εἰς γενικήν. τὸ μέντοι ἀπεύχομαι, εἰς αἰτιατικήν. Ἐφεδρεύω, τὸ ἐπικάθημαι. Ἐχθαίρω, τὸ μισῶ. Ἐχθραίνω, τὸ ἐχθρὸν ποιῶ. τοῦτο δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν,

Τὰ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Ἐνεγκεῖν. εἰσενεγκεῖν, καὶ προσενεγκεῖν. τὸ δὲ ἐνεγκεῖν, καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν, διὰ μέσης προθέσεως. τὸ μέντοι ὑπενεγκεῖν, ἀντὶ τοῦ ὑπομεῖναι, καὶ κατενεγκεῖν, ἀντὶ τοῦ φονεῦσαι, καὶ ἀπενεγκεῖν, ἀντὶ τοῦ κομίσαι, εἰς αἰτιατικήν. τὸ δὲ συνενεγκεῖν, ἀντὶ τοῦ συμφερόντως γενέσθαι, εἰς δοτικὴν μόνην. Ἐνοσογνῶ, τὸ μιγνύω. Ἐμφανίζω, τὸ φανερῶ. Ἑρμηνεύω. Ἑτοιμάζω. Εὐαγγελίζομαι. Εἵμαρτό μοι τυχεῖν, ἀντὶ τοῦ πέπρωται, ἀπὸ δοτικῆς εἰς ἀπαρέμφατον.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Ἐγγυῶμαι τόνδε, τουτέστιν ἔγγυσιν ὑπὲρ αὐτοῦ δίδωμι. Ἐγγυῶμαι, τὸ γυναῖκα λαμβάνω, ὡς τὸ ἑτέρου ἐγγυάσθω γυναῖκα, παρὰ Λιβανίῳ.

Ἐγγυῶ-

Ἐγγυῶμαι δὲ σοι τὴν δεῖνα, καὶ ἐγγυῶ, καὶ καλεγγυῶ, παρ' Εὐριπίδῃ, τὸ δίδωμι τινὶ τὴν γυναῖκα, καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Ἐγγυῶμαι δὲ, τὸ ὑπισχνοῦμαι, εἰς ἀπαρέμφατον. Ἐγείρω, καὶ διεγείρω. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Ἐδήδοκα, ἀντὶ τοῦ ἔφαγον. Ἐδράζω. Ἐδραιῶ, τὸ στηρίζω. Εἰκονίζω, τὸ χαρακτηρίζω. Εἰκάζω, τὸ στοχάζομαι. Εἶδον, ἀντὶ τοῦ ἐθεασάμην. καὶ μεθ' ὅσων συνάπτεται προθέσεων. οἷον κατεῖδον προεῖδον, ἀντὶ τοῦ προέβλεψα, καὶ ἀντὶ τοῦ καταφρόνησα. Παρεῖδον, ἀντὶ τοῦ παρέβλεψα. Ὑπερεῖδον δὲ μόνον, ἀντὶ κατεφρόνησα, εἰς γενικήν. Εἱλῶ, τὸ συστρέφω. Εἰνῶ, τὸ καλύπτω. Εἴρω καὶ συνείρω, τὸ συμπλέκω. Ἐκνευρίζω, τὸ ἀδυνάτους τινὰς καθιστῶ. Ἀνελεῖν, ἀντὶ τοῦ φονεῦσαι, καὶ ἀντὶ τοῦ μαντεῦσαι, καὶ ἀντὶ τοῦ ἐκβαλεῖν. παρὰ δὲ ποιηταῖς καὶ ἀντὶ τοῦ λαβεῖν. ἀνελέσθαι, ἀντὶ τοῦ ἀναλαβέσθαι, προελεῖν, ἀντὶ τοῦ λῦσαι. καὶ ἐξελεῖν, ἀντὶ τοῦ πορθῆσαι. ἐξελεῖν δὲ, τὸ ὡς ἐξαίρετον δοῦναι, παρὰ Θουκυδίδῃ, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. τὸ μὲν τοι παρελέσθαι καὶ ἀφελέσθαι, ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν. Ἐλέγχω,

χω, τὸ κεκρυμμένον ἀτόπημα εἰς φῶς ἄγω, καὶ ἁπλῶς τὸ ἀληθὲς φανερῶ. τὸ ἐξελέγχω, καὶ διελέγχω. Ἐλλεβορίζω, τὸ ἐλλέβορον ποτίζω.

Ἕλκω, τὸ σύρω. Ἐλπίζω, τὸ εἰς ἐλπίδας ἐμβάλλω, καὶ τὸ προσδοκῶ. Ἐμπυρίζω. Ἐνθειάζω, τὸ ἐνθουσιάζω.

Ἐνδοιάζω, τὸ ἀμφιβάλλω. Ἐξουδενῶ, τὸ ἀντὶ οὐδενὸς λογίζομαι. Ἐξοστρακίζω, τὸ ἐξαλείφω. Ἐπισομάζω, τὸ ἐμποδίζω.

Ἐπιτροπεύω, τοῦτο δὴ καὶ εἰς γενικὴν ἅπαξ. Ἐρείδω, τὸ προσάπτω. Ἐρεθίζω, καὶ διερεθίζω, τὸ παρακινῶ, καὶ διεγείρω. Ἐρείπω, τὸ καταβάλλω. Ἐρευνῶ ὃ καὶ ἐρευνῶμαι γράφεται.

Ἑρμηνεύω, τὸ δηλῶ καὶ φράζω. τοῦτο δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Ἐρωτῶ, τὸ ὑπὸ τῇ ἐρωτήσει, ἐρωτήσει ἄλλου χρῶμαι. Ἐξεργάζομαι, τὸ δι' ὅλου ἐργάζομαι, καὶ τὸ φονεύω παρ' Εὐριπίδῃ. Περιεργάζομαι, τὸ ἀκριβῶς σκοπῶ, καὶ περιφυῶς ἐργάζομαι. Εὐλαβοῦμαι, τὸ φοβοῦμαι, καὶ τὸ φυλάττομαι. τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον. Εὐαγγελίζομαι. τοῦτο δὲ καὶ εἰς δοτικὴν, καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Εὐρύνω, τὸ πλατύνω. Ἐφοδιάζω. Εὐφημῶ, τὸ ἐπαινῶ, τοῦτο δὲ ἐνίοτε καὶ ἀμετάβατον

βατὸν ὄξιν, ὡς τὸ εὐφήμει, ἀντὶ τοῦ ἐσιώπα. Εὐωχῶ. Εὐωδιάζω. Ἔχω, τὸ κέκτημαι, καὶ τὸ φορῶ, καὶ τὸ κρατῶ. ἔχω δὲ ἀντὶ τοῦ δύναμαι, εἰς ἀπαρέμφατον. ἔχω δὲ ἀντὶ τοῦ διάκειμαι, εἰς ἐπίῤῥημα. οἷον καλῶς ἔχω τοῦ σώματος.

Μετὰ προθέσεων.

Συνέχω καὶ κατέχω, καὶ ἀνέχω, τὸ βαστάζω, καὶ κρατῶ, καὶ τὸ σώζω, παρὰ Θουκυδίδῃ. καὶ ἀνέχω τὰς χεῖρας, περὶ εὐχῆς. Ἀνέχω δὲ, τὸ ἄνω ἵσαμαι, καὶ τὸ ἀναφύω, καὶ ἀνακύπτομαι, ἀμετάβατον. Ἀπέχομαι δὲ βρωμάτων παθητικῶς, ἢ πομάτων, καὶ τῶν ὁμοίων. καὶ ἀνέχομαι, τὸ ἀντιποιοῦμαι. Προσέχω δὲ, καὶ προσέχομαι, τὸ προσπέφυκα, καὶ προσκολλῶμαι, καὶ ἀνέχομαι τὸ ἀκολουθῶ, καὶ τὸ ἔνοχός εἰμι, καὶ ἐπέχω τὸ ἐφίστημι, παρὰ Λουκιανῷ, εἰς δοτικὴν μόνην. Ἐπέχω δὲ τὸ κωλύω, ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, καὶ ἀπὸ αἰτιατικῆς εἰς ἀπαρέμφατον. Ἐῶ, τὸ καταλιμπάνω. τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον.

Τὰ ἀπὸ αἰτιατικῆς εἰς γενικήν.

Ἐγκωμιάζω, τοῦτο δὲ καὶ ἀντισρόφως ἀπὸ γενικῆς εἰς αἰτιατικήν. Εἴργω τὸ κωλύω. καὶ ἀνείργω, τὸ αὐτὸ, καὶ ἀντισρόφως ἀπὸ γενι-

κῆς εἰς αἰτιατικὴν, καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν, καὶ ἔτι εἰς ἀπαρέμφατον. Ἐλαύνω, καὶ ἐξελαύνω, ἀπελαύνω, τὸ διώκω. Ἐλῶ, καὶ ἐξελῶ, τὸ ἀπελαύνω. Εὐδαιμονίζω. Ἐμπιπλῶ, τὸ γεμίζω. Ἐθίζω δὲ καὶ συνεθίζω, ἀντὶ τοῦ ἐθάδα ποιῶ, ἀπὸ αἰτιατικῆς εἰς δοτικήν.

Διὰ μέσης προθέσεως.

Ἔρχομαι δὲ, ἀεὶ διὰ μέσης προθέσεως εἰς αἰτιατικὴν μεταβαίνει. οἷον ἔρχομαι πρὸς τόδε, καὶ εἰς τὴν πόλιν. καὶ εἰς μέλλοντα μετοχήν. οἷον ἔρχομαι ποιήσων τόδε. καὶ μετέρχομαι, τὸ ἐργάζομαι, καὶ περιέρχομαι, τὸ κύκλῳ ἔρχομαι, καὶ τὸ ἐξαπατῶ παρὰ τοῖς κωμικοῖς. καὶ διεξέρχομαι, τὸ λεπτολογῶ, ἄνευ μέσης προθέσεως, εἰς αἰτιατικήν. ὁμοίως καὶ τὸ ἐπεξέρχομαι, εἰς δοτικήν. Εἶμι τὸ πορεύομαι, διὰ μέσης προθέσεως, καὶ αὐτὸ εἰς αἰτιατικήν.

ΑΡΧΗ ΤΟΥ Ζ.

ΤΑ ΑΜΕΤΑΒΑΤΑ.



Ζέω, τὸ βράζω. καὶ ὑπερζέω. Ζωοθυτῶ. Ζῶ καὶ ἀναζῶ, τὸ βεβιασμένως ζῶ. Ζωπυρῶ, τὸ πυρὸς τι ὑποκρύπτω. καὶ ζωπυρῶ, τὸ ἀναθάλπω, μεταβατικὰ εἰς αἰτιατικήν.

κόμ. Ζυγομαχῶ, τὸ στασιάζω, καὶ διχογνωμονῶ.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Ζεύγνύω, καὶ ζεύγνυμι. ὅπερ δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν, καὶ ἀναζεύγνυμι ἐπ' οἴκου, ἢ ἐπ' οἶκον. Ζηλῶ, τὸ μακαρίζω, τὸ μιμοῦμαι, τὸ ζηλωτυπῶ. Ζηλοπῶ, τὸ εἰς ἀπέχθειαν πολλὴν καθίσταμαι τινί. Ζητῶ, ὅπερ δὲ καὶ εἰς ἀπαρέμφατον. Ζυτῶ, τὸ ζεύγνυμι. Ζυγῶ, καὶ ἀναζυγῶ, τὸ ἔξωθεν ἀνοίγω τὴν θύραν. καὶ ὑποζυγῶ δὲ, ὑποσφαλίζω παρὰ Συνεσίῳ, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Ζυγιστατῶ. Ζυμῶ. Ζωγραφῶ. Ζωγρῶ, τὸ ζῶντα λαμβάνω. Ζώννυμι. Ζωοποιῶ. Ζωογονῶ.

Ζημιῶ δὲ, ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν. οἷον ζημιῶ σε χρυσίον. καὶ ἀπὸ αἰτιατικῆς εἰς δοτικήν. οἷον ζημιῶ σε χρυσίῳ.

ἈΡΧΗ͂ ΤΟΥ͂ Η.

ΤᾺ ἈΜΕΤΆΒΑΤΑ.

Ἡβῶ καὶ ἀνηβῶ, τὸ ἀκμάζω καὶ σφριγῶ. Ἡβάσκω, τὸ αὐτό. Ἥδομαι, τὸ εὐφραίνομαι. Ἥδομαι δὲ τῷδε τῷ πράγματι. καὶ ἐφήδομαι, τὸ ἐπιχαίρω, ἐπὶ κακοῦ λέγεται) καὶ συνήδομαι, τὸ συγχαίρω

ὤν καλοῦ τιθέμενον, μεταβατικὰ εἰς δοτικήν.

Ἥκω, ἀντὶ τοῦ ἦλθον, καὶ ἀντὶ τοῦ ἔρχομαι, τοῦτο δὲ καὶ μεταβατικὸν εἰς αἰτιατικὴν, διὰ μέσης προθέσεως. οἷον ἥκω εἰς τὴν πόλιν, ἢ πρὸς τὸν βασιλέα, καὶ εἰς μετοχήν. οἷον ἥκω ποιήσων τόδε. ὡσαύτως καὶ τὸ ἀνήκω, ἀντὶ τοῦ ἀνέρχομαι καὶ ἀναφέρομαι, καὶ ἐπανήκω, τὸ ἐπανέρχομαι, εἰς αἰτιατικὴν καὶ αὐτὰ, διὰ μέσων προθέσεων. διήκει δέ μοι ὁ χρόνος, ἀντὶ τοῦ διήνυσαι. καὶ καθήκει, ἀντὶ τοῦ πρέπει, καὶ ἁρμόττει, καὶ προσήκει, τὸ αὐτὸ εἰς δοτικήν. προσήκει δέ μοι τοῦδε, ἀντὶ τοῦ μετοχή μοι τούτου ἐστὶν, ἀπὸ δοτικῆς εἰς δοτικήν. Ἡμωδιῶ, τὸ αἱμωδιῶ. Ἠρεμῶ, τὸ ἡσυχάζω. Ἠχῶ, καὶ αὐτηχῶ δὲ, μεταβατικὸν εἰς δοτικήν. ὡσαύτως καὶ τὸ ὑποβρυχῶ, καὶ περιηχῶ, εἰς αἰτιατικήν. καὶ τὸ κατηχῶ, εἰς γενικήν. Ἡπῶ, τὸ ῥάπτω, τοῦτο δὲ μεταβατικὸν εἰς αἰτιατικήν.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Ἡγοῦμαι, τὸ νομίζω, τοῦτο δὲ ἐστὶν εἰς ἀπαρέμφατον. Ἡγοῦμαι δὲ, τὸ ἄρχω, καὶ διηγοῦμαι ποιητικῶς, τὸ αὐτὸ, εἰς γενικήν. Ἐξηγοῦμαι δὲ τὰ παρ' ἑτέροις γεγραμμένα καὶ εἰρημένα,

να,

να. Ἑρμηνεύω καὶ ἐπαγγέλλω, εἰς αἰτιατικήν. Ἡγοῦμαι δὲ σὺν τῷ ὁδὸν, ἀντὶ τοῦ προηγοῦμαι, τὸ αὐτό. καὶ ἡγοῦμαι τὸ διδάσκω, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. σὺν τούτοις τὸ ὑφηγοῦμαι, τὸ παραινῶ, καὶ εἰσηγοῦμαι τὸ αὐτὸ, καὶ τὸ συμβουλεύω, ἅτινα καὶ εἰς ἀπαρέμφατον μεταβαίνουσιν. Ἡδύνω, τὸ εὐφραίνω, καὶ τὸ ἀρτύω. Ἠλυγάζω, καὶ ἐπηλυγάζω, τὸ ἀποκρύπτω. Ἡμερῶ, καὶ ἐξημερῶ, τὸ ἥμερον ποιῶ. Ἡμύω, τὸ καμύω, τὸ κλινω.

ΑΡΧΗ ΤΟΥ Θ.

ΤΑ ΑΜΕΤΑΒΑΤΑ.



Θάλλω, λέγεται μὲν κυρίως ἐπὶ δενδρων. Θαλαβοκοπῶ, τὸ ματαιολογῶ. Θανατῶ, δευτέρας συζυγίας τῶν περισπωμένων, ἤγουν τὸ ὀρέγομαι ἀποθανεῖν. Θανατῶ δὲ ἕτερον, τρίτης συζυγίας τῶν περισπωμένων. Θαῤῥῶ, τὸ ἐλπίζω, τοῦτο δὲ καὶ μεταβατικὸν εἰς δοτικήν. Θέω τὸ τρέχω, ἀναθέω, τὸ ἀνέρχομαι. Καταθέω, τὸ κατέρχομαι. ταῦτα δὲ καὶ μεταβατικὰ εἰς αἰτιατικὴν, διὰ μέσης προθέσεως. τὸ μὲν τοι καταθέω τὸ κατατρέχω, μεταβατικὸν καὶ αὐτὸ εἰς αἰτιατικὴν, ἄνευ μέσης προθέσεως. Ἐπιθέω δὲ, τὸ

ἐπάνω τινὸς τρέχω, ὡς ἐπιθεῖ τοῖς κύμασιν ἡ ναῦς, μεταβατικὸν εἰς δοτικήν. Θεείζω, τὸ θέρος ἔν τινι τόπῳ διάγω. Θνήσκω. Θορῶ, τὸ πηδῶ. τοῦτο δὲ μεταβατικὸν εἰς αἰτιατικήν. Θρησκεύω, τὸ θεοσεβῶ. Θρύπτω ἀρτον, ἀντὶ τοῦ εἰς λεπτότατον διαιρῶ, ἐξ οὗ καὶ θρύφος, τὸ τοῦ ἄρτου τεμμάχιον, μεταβατικὸν εἰς αἰτιατικήν. Θύω, τὸ ἁπλῶς θυσίαν ποιῶ. ἔτι θύω, τὸ σφοδρῶς καὶ δίκην μαινομένου ὁρμῶ, ὃ καὶ θυίω λέγεται. Θύω δὲ τῷ θεῷ, καὶ θύομαι, τὸ αὐτὸ παρὰ Θουκυδίδῃ, μεταβατικὸν εἰς δοτικήν. καὶ ἀναθύω, τὸ ἀναλαμβάνω διὰ χρόνου. οὕτω Φερεκράτης.

Τὰ μεταβαίνοντα εἰς γενικήν.

Θιγγάνω, τὸ ψαύω, καὶ προσεγγίζω. Θίγω, τὸ αὐτό.

Τὰ μεταβαίνοντα εἰς δοτικήν.

Θητεύω, τὸ ἐπὶ μισθῷ δουλεύω. Θυμοῦμαι, ἐνθυμοῦμαι δὲ, εἰς αἰτιατικήν. τὸ μέντοι ἐπιθυμῶ, εἰς γενικήν.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Θανατῶ, τρίτης συζυγίας τῶν περισπωμένων, τὸ ἀποθανεῖν τινὰ ποιῶ. Θάλπω,

πω, τὸ ζωογονῶ. Θαυμάζω, τὸ διὰ θαύματος ἄγω. ἔστι δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν.

Θαυμάζω δὲ, τὸ κατηγορῶ, εἰς γενικήν.

Θαρσύνω. Θάπτω. Θεάζω, τὸ ἐνθουσιῶ.

Θέλω, ἔστι δὲ καὶ εἰς ἀπαρέμφατον. Θεμελιῶ. Θεῶ τρίτης συζυγίας τῶν περισπωμένων, τὸ θεότητος μεταδίδωμι. καὶ ἀθλεύω.

Θεῶμαι, κυρίως τὸ βλέπω τι τῶν τεχνικῶς γινομένων, οἷον πάλην, ἢ παγκράτιον, ἢ ἄλλο τι. Θεορῶ, τὸ τὰ θεῖα ὁρῶ, καὶ τὸ σκέπτομαι. κυρίως δὲ ἐπὶ ψυχῆς ἡ λέξις. Θήγω, τὸ ἀκονῶ. καὶ ἐπιθήγω, τὸ παρορμῶ. Θηλύνω, τὸ χαυνῶ. Θηρεύω, τὸ ἀγρεύω. Θησαυρίζω. Θλίβω, τὸ ἐκπιέζω. Θλῶ, τὸ συντρίβω. Θλάττω, τὸ αὐτό. Θολῶ. Θράττω τὸ ταράττω, καὶ τὸ ἐκφοβῶ. Θραύω λέγεται κυρίως ἐπὶ ξύλου. Θριαμβεύω, τὸ δημοσιεύω.

Θρηνῶ, τὸ περιφράττω. Θροῶ, τὸ ἐκπλήττω, καὶ ποιητικῶς τὸ λέγω. Θρυλλῶ, τὸ διαφημίζω. Θωπεύω, τὸ κολακεύω.

Θωρήσσω, τὸ καθοπλίζω. Θαμίζω δὲ, διὰ μέσης προθέσεως, μεταβατικὸν εἰς αἰτιατικήν. οἷον θαμίζω περὶ τὴν ἀγοράν.

ἈΡΧῊ ΤΟΥ͂ Ι.

ΤᾺ ἈΜΕΤΆΒΑΤΑ.



Ἰαύω, τὸ ἀγρυπνῶ. Ἰδιωτεύω, τὸ τὰ ἴδια πράττω. Ἰδίω, τὸ κοπιῶ. Ἱδρῶ. Ἱεροπρακτῶ. Ἱζάνω, καὶ καθιζάνω, καὶ ἀφανίζω, τὸ ἀπανίσταμαι τῆς καθέδρας. Ἰλάζω, τὸ ὑπὸ δίφρου κάθημαι. Ἰλίσσεται καὶ ἰλυσπᾶται σκώληξ.

Τὰ εἰς γενικήν.

Ἱππάζομαι, τὸ ἐφ' ἑνὸς ἵππου ὀχοῦμαι. Ἱππεύω, τὸ αὐτό. Ἵπταμαι, τὸ πέτομαι, τὸ ἱμείρω, καὶ ἱμείρομαι, γενικῇ.

Τὰ μεταβαίνοντα εἰς δοτικὴν, καὶ εἰς αἰτιατικὴν ὁμοῦ.

Ἰατρεύω. Ἱδρεύω. Ἰδιοῦμαι, τὸ ἰδιοποιοῦμαι. Ἱδρύω, καὶ καθιδρύω περὶ θεῶν ναὸν, ἤγουν θεμελιῶ, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Ἰθύνω, τὸ κατευθύνω. Ἰκμάζω, καὶ ἐξικμάζω, τὸ ξηραίνω. Ἱλαρύνω. Ἰλεοῦμαι, τὸ ἐξευμενίζω. Ἱμάσσω, τὸ μαστίζω. Ἰνδάλλομαι, τὸ φαντάζομαι, ἀφ' οὗ καὶ ἴνδαλμα. Ἰξεύω. Ἱδρῶ, καὶ καθιδρῶ, ὅπερ λέγεται ἐπὶ τῶν ἀναθημάτων. Ἱδρῶμαι δὲ, ἀντὶ τοῦ εἰς ἱδρῶτας τελῶ ἀμετάβατον.

βάθρον. Ἱδρύω τῷ θεῷ, ἢ τὸ θύω, τὸ καὶ ἱδρατεύω λέγεται. Ἵημι καὶ ἀφίημι, τὸ πέμπω.

Μετὰ προθέσεων.

Ἀφίημι δὲ, τὸ ἀπολύω, ἀπὸ αἰτιατικῆς εἰς γενικήν. οἷον ἀφίημί σε τοῦ χρέους. Ἀφίημι δὲ καὶ διαφίημι, τὸ δωροῦμαι. Ἐφίεμαι δὲ, εἰς γενικήν. Μεθίεμαι δὲ, εἰς γενικήν. Παρίημι, τὸ καταλιμπάνω. καὶ προΐεμαι, τὸ αὐτό. καὶ ἐφίεμαι, τὸ πέμπω παρὰ Θουκυδίδῃ. ἐφίεμαι δὲ τὸ ἐπιθυμῶ, εἰς γενικήν. Ἰσοφαρίζω, τὸ ἐξισοῦμαι. Ἰσοῦμαι, καὶ ἐξισοῦμαι, τὸ ἴσος εἰμί. Ἱστορῶ, τὸ τὰ γεγονότα διηγοῦμαι. σημαίνει δὲ καὶ τὸ ἐρωτῶ, καὶ τὸ ζητῶ, κατὰ τοὺς τραγικούς. Ἵστημι τὸ κινούμενον, καὶ ζυγοστατῶ, παρὰ Λουκιανῷ. Μεθίστημι, τὸ μετακινῶ. Ἀνίστημι, τὸ ἀνεγείρω, καὶ ἀνοικοδομῶ. Καθίστημι καὶ καθίσταμαι, τὸ οἰκονομῶ. Ἀφίσταμαι δὲ, ἀντὶ τοῦ κεχώρισμαι. Προσίσταμαι δὲ, καὶ ἀνθίσταμαι, τὸ ἐναντιοῦμαι. τὸ μέντοι διΐσταμαι εἰς γενικήν. Ἰσχναίνω, τὸ λεπτύνω. Ἴσχω, τὸ κρατῶ. Ἀνίσχει δὲ ὁ ἥλιος, ἀμετάβατον. ἀνίσχει δὲ ἡ γῆ βοτάνας, μεταβατικὸν εἰς αἰτιατικήν. Ἰσχύω, τὸ δύναμαι. τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον, εὕρηται δὲ καὶ ἀντὶ τοῦ ἰσχυρὸν ἕτερον

ποιῶ, παρ᾽ Ἀριςείδῃ. Ἰσχυρίζομαι, καὶ ἀπισχυρί ζομαι, καὶ διϊσχυρίζομαι, τὸ αὐθίσαμαι, καὶ τὸ βεβαιῶ. τοῦτο δὲ καὶ εἰς ἀπόφασιν. Ἰχνεύω, τὸ ἐρευνῶ. Ἰῶμαι, τὸ θεραπεύω. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν.

ἈΡΧῊ ΤΟΥ̑ Κ.

ΤᾺ ἈΜΕΤΆΒΑΤΑ.



Ανθαρίζω, τὸ τρέμω. Καγχλάζω, τὸ γελῶ. Καθίζω, τὸ κάθημαι. καθίζω δὲ ἕτερον, μεταβατικὸν εἰς αἰτιατικήν. Κακοπραγῶ, τὸ δυσυχῶ. Κατηγορῶ, τὸ κακὰ ἀγορεύω. Κατηφῶ. Καγχλάζει τὸ ὕδωρ θερμαινόμενον. Κελαδῶ, τὸ ἠχῶ. Κέρκω, τὸ αὐτό. Κεῖμαι.

Μετὰ προθέσεων.

Ἐγκειμαι, τὸ βαρέως κεῖμαι, καὶ τὸ πλησίον τινὸς κεῖμαι. καὶ πρόσκειμαι, ἀντὶ τοῦ οἰκείως ἔχω, καὶ ἀντὶ τοῦ ἐπίκειμαι, μεταβατικὰ εἰς δοτικήν. Καὶ ὑπόκειμαι, τὸ ὑποκάτω κεῖμαι. Καὶ παράκειμαι, τὸ πλησίον κεῖμαι. Κελαρύζω, καὶ ἠχῶ. Κηρυκεύω, καὶ ἐπικηρυκεύω, καὶ ἐπικηρυκεύομαι, τὸ διὰ κήρυκος λέγω, καὶ τὸ διὰ κήρυκος συνθήκας τινὰς, ἢ πρεσβείας ποιοῦμαι.

μαι. Κιθαρίζω, τῇ κιθάρᾳ χρῶμαι. Κισσῶ, ἐπὶ γυναικὸς, ἤγουν μεθ' ἡδονῆς συλλαμβάνει.

Κλαίω, ὃ καὶ κλάω ἀττικῶς λέγεται. τοῦτο δὲ καὶ μεταβατικὸν εἰς αἰτιατικὴν, καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, καὶ ἀντιστρόφως. τὸ δὲ ἀνακλαίομαι, εἰς μόνην αἰτιατικήν. Κνῶμαι, τὸ γαργαλίζομαι. Κοιμῶμαι. Κολυμβῶ.

Κομῶ, τὸ κόμην τρέφω. σημαίνει δὲ καὶ τὸ τρυφῶ, καὶ τὸ γαυροῦμαι, καὶ τὸ θάλλω. Κυαιῶ, τὸ κρυβδύομαι. Κραιπαλῶ. Κτυπῶ, τὸ κομπάζω. τοῦτο δὲ καὶ μεταβατικὸν εἰς αἰτιατικὴν, ἀντὶ τοῦ κρούω λαμβανόμενον. Κυβδύω, τοῖς κύβοις χρῶμαι. Κυλοιδιῶ, τοὺς ὀφθαλμοὺς ὀζογκοῦμαι. Κύπτω, τὸ ἐπικάμπτομαι τῷ σώματι, καὶ παρακύπτω. Κωμάζω, καὶ ἐσκωμάζω, τὸ ἐρωτικῶς, ἢ μεθύων ἔρχομαι. ταῦτα δὲ καὶ μεταβατικὰ εἰς αἰτιατικὴν, διὰ μέσης προθέσεως. ἐπεισκωμάζω δὲ, μεταβατικὸν καὶ αὐτὸ εἰς δοτικὴν, καὶ εἰς αἰτιατικήν. Κωκύω τὸ θρηνῶ, ἀμετάβατον. Κωκύω δὲ τὸν τεθνεῶτα, μεταβατικὸν εἰς αἰτιατικήν.

Τὰ

Τὰ μεταβαίνοντα εἰς
γενικήν.

Κατηγορῶ, ὃ καὶ κατηγοροῦμαι γράφεται παρὰ Πλάτωνι. τοῦτο δὲ καὶ ἀπὸ γενικῆς εἰς αἰτιατικήν. Κήδομαι, τὸ φροντίζω. Κήδω δὲ, τὸ λυπῶ, εἰς αἰτιατικήν. Κληρονομῶ, τοῦτο δὲ εἰς αἰτιατικὴν ἅπαξ. Κυριεύω, τὸ ἐξουσιάζω.

Τὰ μεταβαίνοντα εἰς
δοτικήν.

Κελεύω, τὸ προστάσσω. τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον. Κολλῶμαι, τὸ ἑνοῦμαι. ὡς τὸ, ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμα ἐστί. Κυρῶ, συζυγίας πρώτης τῶν περισπωμένων. τὸ περιτυγχάνω, ἀντὶ δὲ τοῦ ὑπάρχω παρὰ τοῖς τραγικοῖς, ἀμετάβατον.

Τὰ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Κοινοῦμαι, καὶ ἀνακοινοῦμαι. Κοινωνῶ, τὸ συμμετέχω, καὶ τὸ μεταδίδωμι, παρὰ Πλάτωνι. Κοινωνῶ δὲ τὸ μετέχω, εἰς γενικήν.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Καίω, καὶ κάω, τὸ πυρὶ ἀναλίσκω. Καινοτομῶ, τὸ καινουργῶ. Καίνω, τὸ τέμνω,

μνώ, καὶ τὸ φονεύω. καὶ κατακαίνω, τὸ αὐτό.
Κακίζω, τὸ ψέγω. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, καὶ ἀντιστρόφως. Κακῶ, τὸ βλάπτω. Κακίνω, τὸ κακίαν ἐμποιῶ. Κακολογῶ. Κακουργῶ. Κακουχῶ. Καλλιώω, τὸ καλλωπίζω. Καλῶ, τὸ κράζω, καὶ τὸ ὀνομάζω.

Μετὰ προθέσεων.

Παρακαλῶ, τὸ παρακινῶ, σημαίνει παρακαλῶ, ἤγουν σοῦ δέομαι, δεῖνι, καὶ τὸν δεῖνα παρακινῶ. Ἐκκαλοῦμαι, καὶ προσκαλοῦμαι, τὸ ἔξω ἕλκω. Ἀνακαλοῦμαι, τὸ ἀντακτῶμαι. Καὶ ἐπικαλοῦμαι, τὸ πρὸς βοήθειαν τινὰ παρακαλῶ. Καλύπτω. συγκαλύπτομαι δὲ ἐγὼ, καὶ ἐγκαλύπτομαι, τὸ αἰσχύνομαι, ἀμετάβατα. Κάμπτω, τὸ κλίνω. Καστορῶ. Καρπώω, τὸ καρπώω, καὶ ἡδύνω. Καρατομῶ, τὸ τὴν κεφαλὴν τέμνω. Κεραΐζω, τὸ διαφθείρω. Κείρω, τὸ κόπτω. Κενῶ, τὸ κενὸν ποιῶ. Κερδαίνω. Κερτομῶ, τὸ λοιδορῶ. Κεύθω, τὸ κρύπτω. Κεφαλαιῶ. Κηκάζω, τὸ λοιδορῶ. Κηλιδῶ, τὸ μολύνω. Κηρύττω, καὶ ἀνακηρύττω. Ἐπικηρύττω, τὸ διαπρυσίως βοῶ. Κιβδηλεύω, τὸ νοθεύω. Κινῶ, τὸ ταράσσω, καὶ ἁπλῶς, τὸ ἱστάμενον οὐκ ἐῶ ἱστᾶσθαι, καὶ τὸ ἐγείρω,

καὶ

καὶ περακινῶ, τὸ αὐτὸ, ἤγουν τὸ διεγείρω. καὶ μετακινῶ, τὸ μεταβάλλω. Κίρνημι, τὸ κιρνῶ. Κιχρῶ, τὸ δανείζω. Κιχῶ, τὸ καταλαμβάνω. Κλῶ, τὸ συντρίβω. λέγεται δὲ κυρίως ἐπὶ ὀστῶν. Κλώζω, τὸ διὰ ψόφον τινὸς χλευάζω, ἀπὸ τῶν κολοιῶν πεποιημένον. τὸ γὰρ κλώζειν, κυρίως ἐπὶ τῆς φωνῆς αὐτῶν λέγεται.

Κλείω, τὸ ἀσφαλίζω, καὶ κατακλείω, τὸ αὐτό. Κλέζω, τὸ δοξάζω. Κλίνω, τὸ ῥέπω, κυρίως ἐπὶ τάξεως, ὡς τὸ ἔκλινας ἀμαλῆ καὶ ὁλοὸν ἄγριος. Κλαδῶ τὰς ἀμπέλους. Κνήθω. Κνίζω, τὸ ἐρωτικῶς λυπῶ. Κοιασυρῶ, τὸ καλωπίζω. Κολάζω, τὸ τιμωροῦμαι. Κολοβῶ. Κολλούω, τὸ κολοβῶ, καὶ ταπεινῶ. Κομίζομαι, τὸ λαμβάνω. Κονιῶ συζυγίας δευτέρας τῶν περισπωμένων, τὸ ἀσβέστῳ τοίχους χρίω.

Κόπτω τὸ τέμνω, καὶ τὸ κρούω. καὶ κόπτομαι τὸ στῆθος.

Μετὰ προθέσεων.

Ἐκκόπτω, ἐπικόπτω, τὸ ἀφανίζω. ἐκκόπτω σοῦ ὀφθαλμοὺς τοῦ ἐχθροῦ, ἤγουν τυφλῶ αὐτόν. Προσκόπτω δὲ, τὸ προσκρούω, εἰς δοτικήν. Κορυφῶ τὸ ὑψῶ, καὶ συγκορυφῶ, καὶ ἐκκορυφῶ. Κρατῶ, τὸ ἐξουσιάζω, ἀεὶ εἰς γενικήν.

κὴν. Κρεμῶ, τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, οἷον κρεμῶ σε τοῦ ποδός. Κρίνω, τὸ δικάζω, καὶ τὸ δοκιμάζω, καὶ τὸ χωρίζω.

Μετὰ προθέσεων.

Ἐκκρίνω, τὸ αὐτό. διακρίνω, τὸ διαχωρίζω. ἀποκρίνω τὸ φίλον, καὶ φίλος ἐστὶν, εἰς ἀπέμφασιν. Προκρίνω. τοῦτο δὲ καὶ ἀπὸ γενικῆς εἰς αἰτιατικήν. Ὑποκρίνω, τὸ ἀπατῶ, καὶ ἀφορίζω. Ἀποκρίνομαι δέ σοι ἐρωτώμενος, εἰς δοτικήν. Ἀντικρίνω δὲ, τὸ ἀντεξετάζω.

Κροτῶ. καὶ ἀνακροτῶ, τὸ ὑμνῶ. Κτῶμαι, τὸ συνάγω. Καὶ ἀνακτῶμαι, τὸ ἀνορθῶ, καὶ θεραπεύω. Κτείνω, καὶ ἀποκτείνω, τὸ φονεύω. Κτένω, καὶ ἐκτένω, τὸ ἐξαπλῶ. Κτίζω. Κιννύω, καὶ κτίννυμι, καὶ ἀποκτίννυμι, τὸ φονεύω. Κυβερνῶ. Κυδαίνω, τὸ δοξάζω. Κυκῶ, τὸ ταράσσω, τὸ καὶ ἀνακυκῶ λέγεται, καὶ συγκυκῶ. Κυκλῶ, πρώτης συζυγίας τῶν περισπωμένων, τὸ συστρέφω. Κυκλῶ, τρίτης, τὸ περιλαμβάνω. Κυλίω. Κυνηγῶ. Κωδωνίζω, καὶ διακωδωνίζω, τὸ δοκιμάζω. Κωτίλλω τὸ ὑβρίζω, καὶ ἀπατῶ. Κωμῳδῶ, τὸ σκώπτω.

Τὰ

Τὰ ἀπὸ αἰτιατικῆς εἰς γενικήν.

Κορέννυμι. Κωλύω, τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς ἀπαρέμφατον. οἷον κωλύω σε γράφειν. Κουφίζω σε τοῦ βάρους.

Τὰ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν.

Κλέπτω. τὸ δὲ παρακλέπτω, εἰς αἰτιατικὴν μόνην. Κρύπτω. τὸ δὲ ἀποκρύπτω, τὸ σημαίνει τὸ ἀφανίζω, εἰς αἰτιατικὴν μόνην.

ἈΡΧῊ ΤΟΥ͂ Λ.

ΤᾺ ἈΜΕΤΆΒΑΤΑ.



Αβρογορῶ, τὸ σφοδρῶς δημηγορῶ. Λακτίζει ὁ ἵππος. λακτίζει δὲ τὸν ἐχθρόν μου, μεταβατικὸν εἰς αἰτιατικήν. Λάμπω, καὶ ἐκλάμπω, ἀμετάβατον. καταλάμπω δὲ ἕτερον, καὶ περιλάμπει ὁ ἥλιος τὸν Ἰωάννην, μεταβατικὸν εἰς αἰτιατικήν. Λειποψυχῶ. Ληρῶ, τὸ φλυαρῶ. τοῦτο δὲ καὶ μεταβατικὸν εἰς αἰτιατικήν. Ληρωδῶ. τὸ αὐτό. Λειφαιμῶ, τὸ αἵματος λείπομαι. Λιμώττω, τὸ πεινῶ. Λιχνεύομαι, τὸ λιχνώδης εἰμί. Λογοποιῶ, τὸ ψευδεῖς λόγους πλάττω.

τω. λοχεύει ἢ γυνή. λύζω, ἐπὶ δὲ κοινῶς λεγομένων κλώζω, κατέχομαι. λυττῶ, τὸ μαίνομαι.

Τὰ μεταβαίνοντα εἰς γενικήν.

ΛΑιλοφᾷ τὸ πάθος, ἀμεταβάτως. λέγεται δὲ κυρίως τὸ λωφαῖν, ἐπὶ ὑποζυγίων, ὅταν ἐν τῇ ὁδῷ ἀπαγορεύσαντα περισσῶς ἀσθμαίνοντα, καὶ ἀπὸ τούτου μεταφορικῶς ἐπὶ τῶν ἀνθρώπων, ὅταν ἀπαγορεύσαντες παύσωνταί τινος ἐργασίας. λωφῶ δὲ μεταβατικὸν εἰς γενικήν, σημαίνει δὲ τὸ παύω. λέγεται δὲ κυρίως ἐπὶ λύπης. καταχρηστικῶς δὲ καὶ ἐπὶ θυμοῦ, καὶ νόσου. λήγω, τὸ παύομαι. τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον, καὶ εἰς μετοχήν.

Τὰ εἰς δοτικήν.

ΛΑτρεύω, τοῦτο δὲ πολλάκις καὶ εἰς αἰτιατικήν. λαλῶ, καὶ ἐκλαλῶ. ταῦτα δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Μετὰ προθέσεων.

ΚΑταλαλῶ δὲ, εἰς γενικήν. τὸ μέντοι περιλαλῶ, εἰς αἰτιατικήν. ὁμοίως δὲ καὶ τὸ ἀντιλέγω, ἤγουν τὸ ἐναντίως λέγω, καὶ τὸ ἴσα λέγω, καὶ τὸ διαλέγομαι. καταλέγω,

τὸ ἐγκαταριθμῶ, ἀφ' οὗ καὶ κατάλογος, ἡ ἀπαρίθμησις. Ἐγκαταλέγω, καὶ προλέγω, ἀεὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν, ἄνευ μέντοι τοῦ προλέγω. τοῦτο γὰρ καὶ εἰς αἰτιατικὴν μόνην, καὶ ἔτι εἰς ἀπαρέμφατον. Διαλέγω δὲ, τὸ διορύττω, παρὰ Θουκυδίδῃ. Συλλέγω, τὸ συναθροίζω. καὶ ἀπαλέγω, τὸ ἀπαγορεύω. καὶ ἀπολέγομαι, τὸ παραιτοῦμαι, εἰς αἰτιατικήν. Λιπῶ, καὶ προσλιπῶ, τὸ προσμένω. Ἐκλιπῶ δὲ, εἰς αἰτιατικήν. Λυσιτελῶ, τὸ ὠφελῶ.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Λαγχάνω, ὅπερ δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Λαμβάνω, λαμβάνομαι δὲ τὸ ἅπτομαι, εἰς γενικήν.

Μετὰ προθέσεων.

Ἐγκαταλαμβάνω, τὸ προφθάνω. Ἐκλαμβάνω. Προσλαμβάνω, ἀνταπολαμβάνω. Καταλαμβάνω. Διαλαμβάνω, τὸ ὑπομνηματίζω, καὶ τὸ ὑπονοῶ. Μεταλαμβάνω δὲ, τὸ μετέχω, εἰς γενικήν. Καὶ ἀντιλαμβάνω, τὸ ἀνθ' ἑτέρου ἕτερον λαμβάνω. Ἀντιλαμβάνομαι δὲ, τὸ βοηθῶ. Συλλαμβάνει ἡ γυνὴ παιδίον, ἀντὶ τοῦ σὺν ἑαυτῇ ἕτερον λαμβάνει. Λαμπρύνω,

πρωΐω. Λανθαίνω, λαξεύω, λεκλατῶ. Λεαίνω, τὸ ὁμαλίζω. Λείπω, τὸ καταλιμπάνω, ἐκλείπω. Καταλείπω. Ἐγκαταλείπω. Ἀπολείπω, τὸ ἀφίημι, καὶ ὑπολείπω. Λεπτύνω. Λευκαίνω. Ληΐζομαι, τὸ λαφυραγωγῶ. Ληστεύω. Λιθάζω τὸ λίθοις βάλλω. Λικμῶ, ὑπὲρ καρποῦ, καὶ ἀπὸ φυτοῦ ὑπὲρ πάντων τῶν εἰς ἀθέρα χεομένων. Λιμοκτονῶ. Λιτάζομαι, τὸ ἱκετεύω ποιητικῶς. Λογίζομαι, τὸ ἐνθυμοῦμαι. τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον. Παραλογίζομαι, τὸ ἀπατῶ. Λοιδορῶ. Λοιδοροῦμαι καὶ διαλοιδοροῦμαι, τὸ αὐτό. τοῦτο δὲ καὶ εἰς δοτικήν, ὅπερ καὶ κρεῖττον. Λυγίζω, τὸ κάμπτω. Λυπῶ. Λυποῦμαι δὲ ἐγὼ, ἀμετάβατον. Λύω τὸ δεδεμένον, ὃ καὶ λύομαι παρὰ Πλάτωνι. τὸ λυτροῦμαι. καὶ λύω τὴν ἀπορίαν.

Μετὰ προθέσεων.

ΑΝαλύω, τὸ τὰ συντεθειμένα εἰς τὰ ἐξ ὧν συνετέθησαν διαιρῶ. Ἀναλύω δὲ τὸ ἐπανέρχομαι, διὰ μέσης προθέσεως. Καταλύω, ὃ καὶ καταλύομαι λέγεται παρὰ Θουκυδίδῃ, τὸ ἀφανίζω. Καταλύει δέ τις ἐν πανδοχείῳ. Διαλύω τὰ ἡνωμένα. Ἐκλύω, καὶ παραλύω, τὸ χαῦνον ποιῶ. καὶ ἀπολύω, ὅπερ κατέχω. Ἀπολύω δέ τινα τῆς κατηγορίας. καὶ ἀπολύομαι, τὸ αὐτό, ἀλλὰ

αἰτιατικῆς εἰς γενικὴν, καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Λωβῶμαι, τὸ βλάπτω. λῶ, τὸ θέλω. Λωποδυτῶ, τὸ κλέπτω. Λωπίζω, τὸ ἐκδύω.

ἈΡΧῊ ΤΟΥ͂ Μ.

ΤᾺ ἈΜΕΤΆΒΑΤΑ.



Μαθητιῶ, τὸ μαθητὴς γενέσθαι ἐπιθυμῶ. Μαζῶ, τὸ ζυφῶ. Μαίνομαι, τὸ τὸν νοῦν ἔχω βεβλαμμένον, καὶ μὴ καθεστηκότα. σημαίνει δὲ καὶ τὸ ἐνθουσιῶ, καὶ τὸ διχα νόσου ἁπλῶς μωραίνω. Ἐκμαίνω δὲ καὶ ἐκμαίνομαι, τὸ ἐκταράσσω ἕτερον, καὶ παροξύνω, μεταβατικὰ εἰς αἰτιατικήν. Μαιμάσσω, τὸ δίκην μαινομένου ὁρμῶ. ἀκροθυμῶ. Ματαιάζω. Μεγαλαυχοῦμαι, τὸ καταπαίρομαι. Μεγαληγορῶ. Μεθύω. Μεθύσκομαι. Μεθύσκω δὲ ἕτερον, μεταβατικὸν εἰς αἰτιατικήν. Μειδιῶ, τὸ ἠρέμα γελῶ. Μένω, καὶ συμμένω, τὸ διαρκῶ. Μετριάζω, τὸ ταπεινὰ φρονῶ, ἤγουν μέτρια κηρύζειν, τὸ μακρυκᾶσθαι. Μικροψυχῶ. Μινύρομαι, τὸ κλαυθμυρίζω. Μοχθῶ, τὸ κοπιῶ. Μοχθίζω ποιητικῶς, τὸ αὐτό. Μύρομαι, τὸ θρηνῶ. Μομμολῶ, τὸ θρηνῶ. ταῦτα δὲ ἀμφότερα, καὶ μεταβατικὰ εἰς αἰτιατικήν.

Τὰ μεταβαίνοντα εἰς γενικήν.

Μέμνημαι, ποτὲ δὲ καὶ εἰς αἰτιατικὴν ἅπαξ. Μνημονεύω, ποτὲ δὲ ἐνίοτε μὲν καὶ εἰς αἰτιατικήν. Ἀπομνημονεύω δὲ, τὸ ἀκριβέστερον τῆς μνήμης μετ. καὶ διαμνημονεύω, τὸ ἐναντίον τούτου, εἰς αἰτιατικήν. Μιμνήσκομαι, καὶ ἀναμιμνήσκομαι. ταῦτα δὲ ἐνίοτε καὶ εἰς αἰτιατικήν. Ἀναμιμνήσκω δὲ ἕτερον, ἀντὶ τοῦ εἰς ἀνάμνησιν ἄγω, εἰς μόνην αἰτιατικὴν, καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, ὃ καὶ κρεῖττον.

Τὰ μεταβαίνοντα εἰς δοτικήν.

Μαθητεύω, τὸ μαθητής εἰμι. Μαρτυρῶ, καὶ συμμαρτυρῶ. μαρτυρῶ δὲ τὸν θεὸν, ἀντὶ τοῦ μάρτυρα καλῶ. Τὸ μέντοι καταμαρτυρῶ, εἰς γενικήν. Μάχομαι καὶ ἀπομάχομαι, τὸ αὐτό. Προσμάχομαι, καὶ ὑπερμάχομαι εἰς γενικήν. Ἀναμαχοῦμαι δὲ, εἰς αἰτιατικήν. Μεγαίρω, τὸ φθονῶ, καὶ μεγαίρω παρὰ ποιηταῖς, τὸ ὑμνῶ. Μεσιτεύω, τὸ ἀνὰ μέσον κεῖμαι. Μηνίω, τὸ μνησικακῶ.

Τὰ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Μηνύω σοι λόγον, ἤγουν δηλῶ σοι. Μίγνυμι καὶ ἀναμίγνυμι, τὸ ἑνῶ. Μέλλω, τὸ φροντίζω, ἀπὸ δοτικῆς εἰς γενικὴν, καὶ ἀπὸ δο-

τικῆς εἰς εὐθεῖαν ἰωνικῶς. Μεταμέλομαι δὲ, καὶ ἐπιμέλομαι, τὸ ἐπιμελοῦμαι, εἰς γενικὴν μόνην.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

ΜΑθεῖν, τὸ διδαχθῆναι. Ἀπομαθεῖν, τὸ ἀποβαλεῖν ὃ ἔμαθέ τις. Ἐκμαθεῖν, τὸ εἰς τέλος μαθεῖν. καὶ καταμαθεῖν, τὸ γνωρίσαι ἁπλῶς. Μαλθακίζω τὸ χαυνῶ. καὶ μαλθακίζομαι δὲ, ἀντὶ τοῦ χαυνοῦμαι, ἀμετάβατον. Μανθάνω, τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον. Μαραίνω.

Μαστιγῶ. Μαστροπεύω, τὸ ἀπατῶ, καὶ πλανῶ. Μάττω, τὸ ζυμῶ, καὶ ἐκμάττω, τὸ ἀποσπογγίζω, καὶ ἀπομάττω, τὸ αὐτὸ, καὶ τὸ ἀνατυπῶ. Μεγαλύνω. Μελετῶ, καὶ ἐκμελετῶ, τὸ μανθάνω. Μελῳδῶ. Μελίζω, ἐπὶ μελῳδίας, ἤγουν μέλος καὶ ῥυθμὸν ἁρμόζω. Μερίζω, καὶ διαμερίζω. Μερίζομαι καὶ διαμερίζομαι, τὸ εἰς μοῖραν λαμβάνω, καὶ ὡς οἰκεῖον δέχομαι. Μεταναστεύω ἐκ τῆς πόλεως εἰς ἑτέραν. Μηχανῶμαι. Μινθῶ, τὸ δυσωσμίας πληρῶ. Μιαίνω, τὸ μολύνω. σημαίνει δὲ καὶ τὸ μιγνύω, καὶ τὸ βλάπτω. Μισῶ, τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, καὶ ἀντιστρόφως. Μισθοῦμαι, τὸ ἐπὶ μισθῷ λαμβάνω. Μνηστεύομαι, ἐπὶ συμφωνίας γάμου. Μορμολύττομαι, τὸ φοβῶ. Μορφῶ, τὸ σχηματίζω. Μοχθῶ. Μοχλεύω, καὶ ἀναμοχλεύω.

μοχλεύω.. Μύζω, τὸ θηλάζω καὶ λείχω. Μυκτηρίζω, τὸ ἐξουθενῶ, καὶ χλευάζω. Μυσταγωγῶ, τὸ τὰ μυστήρια διδάσκω. Μύω, ὅπερ λέγεται ἐπὶ πασῶν ὁμοῦ τῶν αἰσθήσεων. Καταμύω, ἐπὶ ὀφθαλμῶν μόνον. καὶ συμμύω, ἐπὶ στόματος. καὶ ἀναμύω, τὸ ἀναβλέπω. Μυῶ δὲ, τὸ διδάσκω, ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν. Μωκῶμαι.

ἈΡΧῊ ΤΟΥ͂ Ν.

ΤᾺ ἈΜΕΤΆΒΑΤΑ.



Αἰω, τὸ οἰκῶ. καὶ νέομαι, τὸ πορεύομαι. Ναυαρχῶ. Ναυπηγῶ. Ναυλοχῶ, τὸ τὰς ναῦς ἐνεδρεύω. Ναυμαχῶ. Ναυλῶ. Ναυτίλλομαι, τὸ μετὰ νεὼς θάλατταν πλέω. Νεάζω. Νεανιεύομαι, τὸ νέα ἔργα ποιῶ. Νείφει, ἀντὶ τοῦ βρέχει. καὶ νίφει μετὰ τοῦ ι τὸ νι, ἀντὶ τοῦ χιονίζει. Νέω, τὸ κολυμβῶ χωρὶς νεώς. Ναίω ἕτερον, τὸ κατοικῶ. Νεωτερίζω. Νήφω, τὸ ἐκτὸς μέθης εἰμί. καὶ ἀνανήφω, τὸ ἀπὸ μέθης ἀναλαμβάνω τὴν ἐμαυτοῦ αἴσθησιν. Νήχομαι, τὸ κολυμβῶ, ὅπερ κυρίως ἐπὶ ἰχθύων λέγεται. Νομοθετῶ, τὸ νόμους τίθημι. τοῦτο καὶ μεταβατικὸν εἰς αἰτιατικήν, καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Νυστάζω.

Τὰ μεταβαίνοντα εἰς δοτικήν.

Νεμεσῶ, τὸ μέμφομαι. Νεύω, καὶ κατανεύω, ἀνανεύω, τὸ ἐναντίον τούτου. ταῦτα δὲ ἔστιν εἰς ἀπαρέμφατον. Ἀπονεύω δὲ, τὸ ἀποκλίνω, εἰς αἰτιατικήν

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Νέμω, τὸ μερίζω, καὶ τὸ διοικῶ. καὶ νέμομαι, τὸ βόσκω. Νέμω σοι τόδε, ἀντὶ τοῦ δίδωμι. Νεκρῶ. Νεῶ τὴν γῆν. ἔστιν ἀνανεῶ, τὸ αὖθις νέον ποιῶ, ὃ καὶ ἀνανεοῦμαι παρὰ τοῖς ἀκριβεστέροις. Νευρῶ, τὸ ἰσχύω. Νίπτω, τὸ διὰ ὕδατος καθαίρω. Νικῶ, τὸ περιγίνομαι. Νοῶ, καὶ μεθ' ὅσων προθέσεων συντάσσεται, οἷον γινώσκω. τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον. Προνοῶ, τὸ ἁπλῶς πρότερον νοῶ κτί. Προνοοῦμαι δὲ, ἀντὶ τοῦ προμηθοῦμαι, εἰς γενικήν. Κατανοῶ. Παρανοῶ. Ἐπινοῶ, καὶ ὑπονοῶ, τὸ ὑπολογίζομαι. ταῦτα δὲ καὶ εἰς ἀπαρέμφατον. Μετανοῶ δέ σοι, εἰς δοτικήν. Νοσφίζομαι, τὸ στερίσκω, καὶ τὸ χωρίζω. ταῦτα δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν, ἴσως ἀπὸ αἰτιατικῆς εἰς γενικήν. καὶ νοσφίζομαι τὸ ἰδιοποιοῦμαι. Νοθεύω, τὸ κιβδηλεύω. Νοτίζω, τὸ ὑγραίνω. Νομῶ τὸ κινῶ, καὶ τὸ σκοπῶ. Νύττω, τὸ τιτρώσκω.

ἈΡΧΗ

ἈΡΧῊ ΤΟΥ͂ Ξ.

ΤᾺ ἈΜΕΤΆΒΑΤΑ.



Ξενίζω, τὸ ξένῃ διαλέκτῳ χρῶμαι, ἢ μᾶλλον τὸ ξένῃ διαλέκτῳ διατρίβω, ἤγουν ἐν ξένῃ χώρᾳ. Ξενίζω δὲ, καὶ τὸ ὑποδέχομαι ξένον, καὶ τὸ ἐκπλήττω, μεταβατικὸν εἰς αἰτιατικήν. Ξενηλατῶ, τὸ ξένους ἐλαύνω. Ξυλίζομαι, τὸ ξύλα συλλέγω.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Ξανθίζομαι, τὸ τὰς τρίχας κομῶ, ἀμετάβατον. Ξαίνω, τῶν ἐρίων, τὸ διαλύω. καὶ ξένω, τὸ μαστίζω. Ξέω, καὶ περιξέω τοῦ ξύλου, ὅταν αὐτὸ ξέωσιν εἰς κάλλος. Ξηραίνω. Ξύω τοῦ ξύλου, καὶ τοῦ σαρκός. Ξυρῶ, δευτέρας συζυγίας τῶν περισπωμένων, οἷον ξυρῶ τὴν κεφαλὴν, καὶ τὸν πώγωνα. εὕρηται δὲ τοῦτο καὶ πρώτης συζυγίας τῶν περισπωμένων παρ' Ἀριστείδῃ, ὃ καὶ κρεῖττον.

ἈΡΧῊ ΤΟΥ͂ Ο.

ΤᾺ ἈΜΕΤΆΒΑΤΑ.



Ὀδύνω, τοῦτο δὲ καὶ μεταβατικὸν εἰς αἰτιατικήν, διὰ μέσης προθέσεως, ἤγουν ὀδύνω εἰς τὴν σύγκλητον ψηφίζων.

ὀδοιπορῶ. ὀδύρομαι, τὸ θρηνῶ. τοῦτο δὲ καὶ μεταβατικὸν εἰς αἰτιατικήν. ὀδυνῶμαι, τὸ ἀλγῶ. ὄζω τὸ δυσωδιάζω, καὶ τὸ βρωμῶ. τὸ μὲν ὄζω τὸ δυσωδιάζω, μεταβατικὸν εἰς γενικήν, οἷον ὄζω μύρων. οἰκουρῶ. οἰμώζω, τὸ θρηνῶ. καὶ οἰμώττω, τὸ αὐτό. οἰνοφλυγῶ, τὸ οἴνῳ πολλῷ χρῶμαι. οἰνόζω, τὸ οἶνον ἀγοράζω. οἴχομαι, τὸ φθείρομαι. καὶ οἴχομαι τὸ πορεύομαι, μεταβατικὸν εἰς αἰτιατικὴν διὰ μέσης προθέσεως. οἰωνίζομαι, τὸ δι' οἰωνῶν μαντεύομαι. ὀκνῶ, τὸ φοβοῦμαι, καὶ τὸ ὀκνηρός εἰμι. ὀκλάζω, τὸ ὑποχαλῶ.

ὀλολύζειν, ἐπὶ γυναικῶν, ὅτε ὑψοῦσι τὴν φωνὴν θρηνοῦσαι. ὁμηρίζω, τοῖς τοῦ Ὁμήρου ποιήμασι χρῶμαι. ὀξυδορκῶ, τὸ ὀξέως βλέπω. ὀργῶ, πρώτης συζυγίας τῶν περισπωμένων, τὸ ὁρμῶ. ὀργάω, τὸ αὐτό. ὀρθεύω, καὶ ὀρθεύομαι γράφεται παρὰ Λουκιανῷ.

ὁρμῶ, ἐπὶ τῆς καθ' ὁρμὴν κινήσεως. καὶ ἐξορμῶ, τὸ ἐξέρχομαι. ὀρχοῦμαι, καὶ ἐξορχοῦμαι, τὸ αὐτό. ταῦτα δὲ καὶ μεταβατικὰ εἰς αἰτιατικήν. ὀφθαλμιῶ, δευτέρας συζυγίας τῶν περισπωμένων, τὸ τοὺς ὀφθαλμοὺς νοσῶ. εὕρηται δὲ καὶ ἀδίκοις ὀφθαλμοῖς γυναῖκα ὁρᾶν,

ρᾶν, μεταβατικὸν εἰς αἰτιατικήν. ὀχοῦμαι.

Τὰ μεταβαίνοντα εἰς
γενικήν.

Ὄθομαι, τὸ ἐπιστρέφομαι. ὄναμαι, καὶ ἀπόναμαι, ἐξ ὧν τὸ ὠνάμην, καὶ ἀπωνάμην τῶν μαθημάτων. ὀσφρῶ, καὶ ὀσφρομαι, τὸ ὀσφραίνομαι. ὀσφρῶ, πρώτης συζυγίας τῶν περισπωμένων.

Τὰ μεταβαίνοντα εἰς
δοτικήν.

Ὀδύσσομαι, τὸ ὀργίζομαι. ὀλιγωρῶ, τὸ ἀμελῶ, εἰς γενικήν. ὁμιλῶ τὸ ἐντυγχάνω, καὶ τὸ συνίημι, οἷον ὁμιλῶ συμφοραῖς. ὁμοιοῦμαι. ὁμολογῶ. τοῦτο δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν, καὶ εἰς ἀπαρέμφατον.

ὁμοφρονῶ. ὀργίζομαι. ὁσιοῦμαι καὶ ἀφοσιοῦμαι, τὸ, τὸ εἰκὸς ἀποδίδωμι. ἀφοσιῶ δὲ, τὸ ἀποκαθαίρω, καὶ ἀφανίζω παρ' Αἰσχίνῃ, εἰς αἰτιατικήν. ὀφείλω, καὶ ὀφλήσω ἐπὶ δανείου. ταῦτα δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν, καὶ εἰς ἀπαρέμφατον.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Ὀβελίζω, τὸ διαγράφω. ὀγκῶ, καὶ ἐξογκῶ. οἰκοδομῶ, τὸ κτίζω. καὶ οἰκοδομοῦ-

οἰκοδομοῦμαι,, τὸ οἰκοδομηθῆναι ποιῶ. καὶ ἀποικοδομῶ, τὸ ἀποφράττω. Οἰκονομῶ. Οἰκῶ, τὸ κατοικῶ.

Μετὰ τῶν προθέσεων.

Συνοικῶ δὲ, τὸ συνοικιάζω, καὶ προσοικῶ τῶν ἐμψύχων, εἰς δοτικήν. Παροικῶ. καὶ ἐξοικῶ, τὸ ἔξω οἰκῶ. καὶ ἀποικῶ, τὸ μακρὰν οἴκω, εἰς γενικήν. τὸ μέν τοι μετοικῶ, ἀμετάβατον. Οἶδα, ἀντὶ τοῦ γινώσκω. Οἰκτείρω καὶ κατοικτείρω, τὸ ἐλεῶ. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, καὶ ἀντιστρόφως. Οἰκίζω τόνδε τὸν ἄνθρωπον, ἀντὶ τοῦ οἰκεῖσθαι ποιῶ, καὶ οἰκίζω τινὰ ἐν τῷδε τῷ τόπῳ. Ὀλῶ, τὸ φθείρω. ὁ μέλλων ὀλέσω. Ὀλλύω καὶ ἀπολλύω, τὸ αὐτό. Ὁμαλίζω. Ὄμνυμι τὸν θεόν, ἤγουν ὀμνύω. καὶ ὀμνυμί σοι τὸν θεόν, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Ὀνειροπολῶ, τὸ φαντάζομαι. Ὀνειδίζω. Ὀνομάζω. Ὀπτῶ κρέας. Ὁπλίζω, καὶ ἀφοπλίζω, τὸ ἐναντίον τούτου. Ὁρῶ, τὸ βλέπω, κυρίως ἐπὶ σώματος, καὶ μεθ' ὅσων συντάττεται προθέσεων, οἷον καθορῶ. Παρορῶ. Ἀφορῶ. περιορῶ, τὸ καταφρονῶ. καὶ περιορῶμαι, τὸ αὐτό. σημαίνει δὲ καὶ τὸ περισκοπῶ παρὰ Θουκυδίδῃ.

κυλίδιν, καὶ ἀντὶ τοῦ φροντίζω, περὶ τοῦ αὐτῶν, εἰς γενικήν. Ἐφορῶ. Προορῶ, τὸ βλέπω. Ὀρέγω, τὸ ἐκτείνω. Ὀρέγομαι, τὸ ἐπιθυμῶ, εἰς γενικὴν καὶ εἰς ἀπαρέμφατον. Ὀρθοῦ ἵνα, ἀντὶ τοῦ ὀρθὸν ἵστημι. καὶ ἀνορθῶ, τὸν πεσόντα αὖθις, καὶ εἰς ἣν εἶχεν ὀρθότητα ἀποκαθιστῶ. Διορθῶ, ἐπὶ δοράτων, καὶ ὀβελίσκων, καὶ λόγων.

Ἐπανορθῶ, ὃ καὶ ἐπανορθοῦμαι παρὰ Πλάτωνι, ἐπὶ λόγων μόνων. καὶ κατορθῶ, ἐπὶ πολέμου, καὶ τῶν τοιούτων. Ὁρίζω, καὶ διορίζω. καὶ ἀφορίζω, τὸ διαχωρίζω. Ὁρκίζω, τὸ δὲ ὅρκου διασφαλίζομαι. Ὀῤῥωδῶ, τὸ φοβοῦμαι.

Ὀρύσσω, τὸ κατορύσσω. Ὁρμίζω τὴν ναῦν. καθορμίζω δὲ ἐγώ, ἀντὶ τοῦ εἰς τὸν λιμένα κατέρχομαι, ἀμετάβατον. Οὐτάζω ποιητικῶς, τὸ τιτρώσκω. Ὀφέλλω ποιητικῶς, τὸ αὔξω.

Ὀχλῶ, καὶ ἐνοχλῶ. ὧν δὲ ἐνίοτε καὶ εἰς δοτικήν. Ὀχυρῶ. Ὄψομαι, ἀντὶ τοῦ θεάσομαι.

ἈΡΧῊ ΤΟΥ͂ Π.

ΤᾺ ἈΜΕΤΆΒΑΤΑ.



Αγκρατιάζω. Παιανίζω, τὸ ᾄδω τὸν παιᾶνα. Παίζω, καὶ παίζω τὰ πράγματα, καὶ διαπαίζω ὁμοίως.

Παλαίω,

Παλαίω, καὶ καταπαλαίω, τὸ ἔξω τοῦ πρέποντος παλαίω. Πάσχω. Παφλάζει τὸ ὕδωρ θερμαινόμενον. Πεζεύω, τὸ πεζῇ πορεύεσθαι. Πέλω, τὸ ὑπάρχω. Πεινῶ, τὸ φαγεῖν ἐπιθυμῶ. Πέρδω. Περιπατεύω. Ἐκπεσεῖν δὲ, τὸ στερηθῆναι, καὶ ἁπλῶς τὸ φυγεῖν, καὶ τὸ ἔξω τοῦ πρέποντος πεσεῖν. τὸ μὲν τοι εἰσπεσεῖν, ἀντὶ τοῦ εἰσελθεῖν, διὰ μέσης προθέσεως εἰς αἰτιατικήν. Πέτομαι. Πηδῶ, ἐπὶ τοῦ ἀγῶνος. Πηδῶ δὲ τὸν τάφρον. καὶ ὑπερπηδῶ. Πίπτω, καὶ πίπτω μεταβατικὸν εἰς γενικήν.

Μετὰ προθέσεων.

Ἀναπίπτω, τὸ ῥαθυμῶ. Καταπίπτω. Συμπίπτει τὰ πράγματα. Περιπίπτω δὲ καὶ ἀντιπίπτω, τὸ ἀνθίσταμαι, καὶ προσπίπτω, μεταβατικὸν εἰς δοτικήν. ὡσαύτως καὶ τὸ ἐκπίπτω, εἰς γενικήν. Πλαγιάζω. Πλέω. Ἀναπλέω. Ἀποπλέω, τὸ ἐκ τόπου τινὸς ἀπαίρω. Πλημμελῶ, ἀντὶ τοῦ ὀξυβρίζω, μεταβατικὸν εἰς αἰτιατικήν. Πλεονεκτῶ. Πλουτῶ. Πλεονάζω. Πνέω, καὶ ἀναπνέω. πνέω δὲ μάχην, αἰτιατικῇ. Πολιτεύω. Πονῶ, καὶ πονοῦμαι, τὸ κοπιῶ. καὶ διαπονοῦμαι, τὸ περί τι

καταγί-

καταγίνομαι. ταῦτα δὲ μεταβατικὰ εἰς αἰτιατικὴν, διὰ μέσης προθέσεως. Πορνεύω. Πονηρεύομαι, αὐτὶ τοῦ πονηρός εἰμί. Ποτῶμαι, τὸ πέτομαι. Πρωτεύω, τὸ πρῶτος εἰμί. πρωτεύω δὲ τοῦ δήμου, μεταβατικὸν εἰς γενικήν.

Πτύω, καὶ καταπτύω. τὸ μὲν πτύω ἀμετάβατον, τὸ δὲ καταπτύω, μεταβατικὸν εἰς γενικήν. Πτώσσω, ὅθεν καὶ πεπτωχὼς ὁ πυρέττων. Πτήσσω, τὸ φοβοῦμαι, ὅθεν καὶ τὸ καταπτηκυῖαι, καὶ τὸ καταπεπτηχώς. Πυκτεύω, τὸ ἀγωνίζομαι τὸν τῆς πυγμῆς ἀγῶνα, καὶ ἀπὸ τούτου καταχρηστικῶς καὶ πυρέττω.

Τὰ μεταβαίνοντα εἰς γενικήν.

Παύομαι, τοῦτο καὶ εἰς μετοχήν. παύω δὲ καὶ διαπαύω, καὶ ἀναπαύω, ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Πολυωρῶ, τὸ πολλὴν ὤραν καὶ φροντίδα ἔχω. Προθυμοῦμαι. Προξενῶ, τὸ ξενοδοχῶ. Πυνθάνομαι, τὸ ἐρωτῶ. Πυνθάνομαι δὲ τὸ ἀκούω, εἰς αἰτιατικὴν, καὶ εἰς ἀπαρέμφατον.

Τὰ μεταβαίνοντα εἰς δοτικήν.

Πειθαρχῶ, τὸ πείθομαι. Πελάζω, τὸ πλησιάζω, καὶ προσπελάζω, καὶ ὑποπελάζω.

ζω. Πέποιθα, τὸ θαῤῥῶ, καὶ πέποιθα ὑπὲρ σοί. Πισεύω περὶ θεῶ, καὶ πισεύω εἰς θεόν. Πλησιάζω. Πολεμίζω, ποιητικῶς. Πολεμῶ, γίνοτε δὲ ὥσπερ καὶ εἰς ἀπαρέμφατον. Πρέπει, ἀντὶ τοῦ δεῖ, ὥσπερ δὲ καὶ εἰς ἀπαρέμφατον. καὶ διαπρέπει τὶς, ἀντὶ τοῦ μάλιστα καὶ πρεπόντως διάγει, ὡς τὸ διέπρεπε τῇ ἀρχῇ.

Διαπρέπω δὲ, τὸ καλωπίζω παρὰ Πλάτωνι, εἰς αἰτιατικήν. Προασπίζω καὶ ὑπερασπίζω, εἰς γενικὴν μόνον. τὸ συνασπίζω, εἰς δοτικήν.

Τὰ ἀπὸ δοτικῆς εἰς
αἰτιατικήν.

Πέμπω. Προπέμπω, τὸ ἐρωτικῶς μηνύω. Ἐκπέμπω, τὸ ἀποστέλλω τινὰ πρός τινα. Ἐκπέμπω δὲ, τὸ ἀποδιώκω, καὶ ἀπεμβάλλω. καὶ συνεκπέμπω. καὶ παραπέμπω, τὸ ἀκολουθῶ δι᾽ ὅλου τινὶ, καὶ δορυφορῶ. καὶ προπέμπω, τὸ συνακολουθῶ τινὶ ἐξιόντι ὑπὲρ τοῦ συντάξασθαι. καὶ μεταπέμπομαι, τὸ μετακαλῶ. Πιπράσκω, τὸ πωλῶ. ὥσπερ ἢ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν. οἷον πιπράσκω σε δηναρίων. Πορίζω τὸ παρέχω, καὶ ἐκπορίζω.

Πωλῶ, τὸ πιπράσκω. ὥσπερ δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν, οἷον πωλῶ σε χρημάτων.

Τὰ

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Παιδεύω, τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν. Παιδαγωγός. Παίω, τὸ τύπτω.

Μετὰ προθέσεων.

Υπερπαίω, τὸ ὑπερβάλλω, παρὰ Λουκιανῷ. καὶ εἰσπαίω, τὸ εἰσέρχομαι. τοῦτο δὲ καὶ διὰ μέσης προθέσεως. Ἐκπαίω δὲ τὸ ἐξέρχομαι, εἰς γενικήν. Συμπαίω ἤγουν τὸ συγκρούω, εἰς δοτικήν. Παλαιός. Καλλύνω, τὸ λευκαίνω. Πάσσω. Πείθω, τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν. Πείθομαι δὲ, εἰς γενικήν.

Πειρῶ, τὸ σιωνεύω, καὶ τὸ δοκιμάζω, παρὰ Θουκυδίδῃ. Πετῶ, τὸ ὑψῶ, καὶ ἀναπετῶ.

Πέσσω, τὸ χωνεύω. Πεζάζω. Πείρω τὸ σουβλίζω. Περατῶ, τὸ τελειῶ. Περιέπω, τὸ φυλάσσω. Περῶ. Περαιῶ. Πηγάζω.

Πήσσω τὸ πηγνύω. Πημαίνω, τὸ βλάπτω. Πηρῶ, τὸ αὐτό. Πιαίνω, τὸ σιτεύω.

Πικραίνω. Πινῶ, τὸ ῥυπῶ. Πλέκω. Πληθύνω. Πλύνω. Πληρῶ, ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Πλήττω, καὶ ἐπιπλήττω, τὸ τύπτω.

Πνίγω, καὶ ἀποπνίγω. Ποθῶ, ὅπερ κυρίως

τῶν ἀτόπων. Πορθύω, τὸ βαδίζω, καὶ πορθύεσθαι ποιῶ. Πομπεύω, τὸ ὑβρίζω. Πομπεύω, τὸ δημοσίᾳ προέρχομαι παρὰ Σουΐδᾳ, ἀμετάβατον. Ποιῶ, καὶ ποιοῦμαι, τὸ πράττω.

Μετὰ προθέσεων.

Μεταποιῶ, τὸ μεταβάλλω. Παραποιῶ, τὸ ἔξω τοῦ δέοντος ποιῶ. Ἀποποιοῦμαι, τὸ ἀπ' ἐμαυτὸν ἕλκω, καὶ ὑποκρίνομαι. Προσποιοῦμαι, τὸ ὑποκρίνομαι, καὶ εἰς ἀπὸ ἐμφασιν. Ποικίλλω. Ποιμαίνω, τὸ πρόβατα βόσκω. Πολίζω, τὸ κτίζω πόλιν. Πολυπραγμονῶ. Πορθῶ. Ποντίζω, καὶ καταποντίζω. Πρίζω, τὸ σχίζω. Πρεσβεύω, τὸ τιμῶ. Πρεσβεύω δὲ τὸ παρακαλῶ, εἰς δοτικήν. Πρίω τοὺς ὀδόντας. Προπηλακίζω, τὸ ὑβρίζω. Προνομεύω, τὸ κατατρέχω. Πρυτανεύω, τὸ διοικῶ. Πτίσσω, τὸ τύπτω, ὅπερ κυρίως λέγεται τῶν σίτου, ἀφ' οὗ καὶ πτισάνη τὸ πίτυρον.

ἈΡΧῊ ΤΟΥ̂ Ρ.

ΤᾺ ἈΜΕΤΆΒΑΤΑ.



Ῥαθυμῶ, καὶ καταῤῥαθυμῶ. εὕρηται δὲ ταῦτα παρὰ Φιλοστράτῳ, καὶ μεταβατικὰ εἰς αἰτιατικὴν, ἀντὶ

τῶ

τοῦ ῥαθυμεῖν ποιῶ παραλαμβανόμενα. Ῥαςωνεύω. Ῥαψῳδῶ. καταῤῥαψῳδῶ δὲ, τὸ φλυαρῶ. Ῥέγχω, ὃ καὶ ῥέγκω παρὰ τοῖς ἀττικοῖς. Ῥεῖ τὸ ὕδωρ. Ῥέμβομαι, τὸ ἀμελῶ, ἀφ' οὗ καὶ ῥεμβώδης ὄνομα κοινὸν, ἐπὶ ἄρσενι τοῦ καὶ θηλυκοῦ. Ῥητορεύω. ἀντιῤῥητορεύω δὲ, μεταβατικὸν εἰς δοτικήν. Ῥιγῶ, τρίτης συζυγίας τῶν περισπωμένων, ἐπὶ ῥίγους. καὶ ῥιγῶ δὲ πρώτης τῶν αὐτῶν, ἀντὶ τοῦ φρίττω καὶ φοβοῦμαι, ποιητικῶς. Ῥοθοπυΐζειν, τὸ σιμοῦ ποδὶ παίειν τὰ γλουτὰ, καὶ ῥόθιον ἦχον ποιεῖν ἐν τῇ γῇ.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Ῥαβδίζω. Ῥαπίζω. Ῥάπτω. Ῥήγνυμι. Ῥήσσω, τὸ ῥηγνύω, ὃ λέγεται ἐπὶ φωνῆς, καὶ ἐπὶ ἱματίων, ἢ βιότου τινὸς, ὅταν διασπάσῃ τις αὐτά. Ῥιπίζω καὶ ἐκριπίζω. Ῥίπτω, τὸ ἁπλῶς ῥίπτω. Ῥίπτω δὲ καὶ ῥιπτοῦμαι, τὸ μετὰ σφοδρότητος ῥίπτω. Ῥοφῶ, τὸ πίνω, καὶ ἐκροφῶ, ὅταν ἀπλήστως πίνω τι, καὶ οὐκ ἐῶ τι τοῦ πινομένου. Ῥοιβδῶ, καὶ ἀναῤῥοιβδῶ, τὸ μετὰ ἦχους ἀποπέμπω τι.

ῥυθμίζω. Ῥυπῶ, τὸ μολύνω, καὶ ῥυπαίνω, τὸ αὐτὸ σημαίνει, καὶ τὸ ἐξυβρίζω παρὰ Φερεκράτει. Ῥύπτω, τὸ καθαίρω. Ῥωννύω καὶ ῥώννυμι, τὸ ἐνδυναμῶ. Ῥέπω δὲ, διὰ μέσης προθέσεως, οἷον ῥέπω πρὸς τόδε. Ῥύομαι δὲ, τὸ ἐλευθερῶ, καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν.

ΑΡΧΗ ΤΟΥ Σ.

ΤΑ ΑΜΕΤΑΒΑΤΑ.



Αλεύει ἡ ναῦς, ἀντὶ τοῦ ὑπὸ ἀγκύρας ἐν λιμένι ἵσταται. καὶ ἀκροσαλεύει τὸ αὐτό. Σαλπίζω, διασαλπίζω δὲ τὰ πεπραγμένα, ἀντὶ τοῦ διαφημίζω, μεταβατικὸν εἰς αἰτιατικήν. Σείει, ὑπὸ σεισμοῦ. Σείει δὲ ὁ θεὸς τὴν γῆν, μεταβατικὸν εἰς αἰτιατικήν. Σιγῶ. Σιωπῶ. Σιωπῶ δὲ τὰ ἀπόρρητα, μεταβατικὸν εἰς αἰτιατικήν. Σκάπτω. Σκάπτω δὲ τὴν γῆν, μεταβατικὸν εἰς αἰτιατικήν. Σκαίρω, τὸ ἐμμέτρως κινοῦμαι καὶ ὀρχηστικῶς. Σκιρτῶ, τὸ εὐρύθμως κινοῦμαι. Σκοτοδινιῶ. Σκυθρωπάζω. Σολοικίζω. Σοβαρεύομαι. Σοφιστεύω. ἀτακτῶ. Σπεύδω, τὸ ἀγωνίζομαι. τοῦτο δὲ καὶ μεταβατικὸν εἰς ἀπαρέμφατον. Σπουδάζω, τὸ

τὸ ἐναντίον τοῦ παίζω. καὶ ἀπασπουδάζω, τὸ παύομαι τῆς σπουδῆς. Σταθεύω, ὃ καὶ σαθεύω παρὰ τοῖς ἀττικοῖς, τὸ ἱσάμενος φλέγομαι.

Στενάζω, τὸ στεναγμὸν ἀναπέμπω. Στενάζω δὲ τὸν τεθνηκότα, μεταβατικὸν εἰς αἰτιατικήν. Στείχω, τὸ πορεύομαι. Στίλβει τὰ λαμπρὰ καὶ λεῖα. Στηρίζει ὁ ἥλιος.

Στηρίζω δὲ ἐγώ τινα, μεταβατικὸν εἰς αἰτιατικήν. Στρατοπεδεύω. Στιχίζω, τὸ στίχους πλέκω. Στρατεύω, τὸ στρατιὰν κινῶ. Στρηνιῶ. Στυγνάζω. Στωμύλλομαι, τὸ πολλὰ λέγω. Συρίττω, ἀπὸ συριγμοῦ. Συρίζω, τὸ κατὰ σύρους λέγω, ἢ φρονῶ. Σφριγῶ, τὸ ἀκμάζω. Σφύζω. Σχετλιάζω. Σχολάζω.

Σωφρονῶ, τὸ μὴ κατά τι βλαπτόμενον ἔχω τὸν νοῦν.

Τὰ μεταβαίνοντα εἰς
γενικήν.

Σκύζομαι, τὸ ὀργίζομαι, μετὰ ἀγανακτήσεως ἀμυντικῆς. Σπένδομαι, τὸ διαλλάττομαι. Σπένδω ἡ ἀπὸ χοῆς, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Στέρομαι, ἀντὶ τοῦ στεροῦμαι. Σχεδιάζομαι. Στρατηγῶ. Συνῳδῶ, τὸ συμφωνῶ, καὶ τὸ συνεδρεύω, καὶ τὸ συ-

κόσμον ἕτερον προστίθημι. Σκήπτομαι, τὸ προφασίζομαι. Κατασκήπτω, τὸ βιαίως καταφέρομαι, ἐπὶ κεραυνοῦ λεγόμενον. Σκιάζω. Σκοπῶ, καὶ σκοποῦμαι, τὸ αὐτό. καὶ ἀποσκοπῶ, καὶ ἀποσκοποῦμαι. καὶ περισκοπῶ, τὸ κύκλῳ βλέπω. Σκυλεύω. Σκάπτω, καὶ κατασκάπτω, τὸ ἀφανίζω. Σκώπτω, τὸ λοιδορῶ. Σμήχω, τὸ καθαίρω. Σμύχω, τὸ καίω. Σοβῶ, τὸ ταράσσω, καὶ τὸ ἐνοχλῶ. Σοβῶ δὲ, τὸ ἐνθουσιῶ, ἀμετάβατον. Σοφίζω, τὸν μαθητὴν, ἤγουν σοφὸν ποιῶ. καὶ σοφίζομαι, τὸ σοφιστικῶς λέγω. Σπῶ, τὸ λαμβάνω. καὶ ἐπισπῶμαι, τὸ αὐτό. καὶ ἀποσπῶ, τὸ βιαίως λαμβάνω. καὶ ἀνασπῶ, τὸ αὐτὸ ὕδωρ ἀντλῶ. σημαίνει δὲ καὶ τὸ καταλύω, ὡς τὸ ἀναιρῶ παρὰ Θουκυδίδῃ. Σπαθῶ, καὶ κατασπαθῶ, τὸ καταναλίσκω. Σπαργανῶ. Σπαρχέπτω, τὸ βρεθίζω. Σπέρχω, ἐπισπέρχω, τὸ κατεπείγω. Σπιλῶ, τὸ μολύνω. Στενάζω. Στέγω, τὸ καρτερῶ, καὶ τὸ βαστάζω. τοῦτο δὲ καὶ εἰς γενικὴν, καὶ εἰς ἀπαρέμφατον, καὶ εἰς μετοχήν.

Στέργω, τὸ ἀγαπῶ κυρίως, ἐπὶ τοῦ φυσικοῦ φίλτρου, καὶ μὴ ῥᾳδίως διαλυομένου. Στέφω, τὸ κοσμῶ. ἐπιστέφω δὲ, τὸ περιτίθημι.

καὶ περιστέφω, τὸ περικυκλῶ. Στεφανῶ. Στηλῶ, καὶ ἀναστηλῶ, τὸ ἀνιστῶ, καὶ ἐν ὑπὲρ φανερῶ τίθημι. Στηλιτεύω, ὅπερ κυρίως ἐπὶ κατηγορίας λέγεται. Στίζω, τὸ κεντῶ. Στιβάζω. Στιλβω. Στρεβλῶ, τρίτης συζυγίας τῶν περισπωμένων. Στρέφω καὶ περιστρέφω, τὸ κύκλῳ βλέπω. Περιστρέφομαι δὲ ἐγὼ, ἀμετάβατον. Ἐπιστρέφω δὲ ἐγὼ ἐκ κακίας εἰς ἀρετὴν, ἀμετάβατον, καὶ ἀποστρέφομαι, τὸ μισῶ. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, καὶ ἀντιστρόφως. Στροβῶ. Συμβῶ. Συκοφαντῶ. Συλῶ, τὸ κλέπτω, συνδυάζω. Συμποδίζω. Σφάττω, καὶ σφάζω. Σφάλλω, καὶ σφάλλομαι τῆς ἐλπίδος, εἰς γενικὴν.

Σφενδονῶ, καὶ ἀποσφενδονῶ. Σφηκῶ, τὸ δεσμεύω. Σφίγγω, σφραγίζω, καὶ ἐπισφραγίζομαι, τὸ ἐπιβεβαιῶ. Σχάζω, ἐπὶ κώπης, καὶ σχάζω τὴν φλέβα, ἀντὶ τοῦ τέμνω. Σχεδιάζω, καὶ αὐτοσχεδιάζω, τὸ συντόμως λέγω, ἢ τὸ ψεύδομαι. Σχίζω καὶ ἀποσχίζω. τοῦτο δὲ καὶ ἀπὸ γενικῆς εἰς αἰτιατικὴν. Σχηματίζομαι, τὸ προσποιοῦμαι. Σώζω, καὶ διασώζω, ὃ καὶ διασώζομαι λέγεται παρὰ Θουκυδίδῃ. Σωρεύω. Σωφρονίζω.

Τὰ

Τὰ ἀπὸ αἰτιατικῆς εἰς γενικήν.

Στυγῶ, τὸ μισῶ, καὶ ἀντιστρόφως. Ἀποστυγῶ δὲ, εἰς αἰτιατικὴν μόνην. Στορνῶ, καὶ ἀποστερνῶ. ταῦτα δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν.

ἈΡΧῊ ΤΟΥ͂ Τ.

ΤᾺ ἈΜΕΤΆΒΑΤΑ.



Αλαιπωρῶ, καὶ ταλαιπωροῦμαι. Προσταλαιπωροῦμαι δὲ, μεταβατικὸν εἰς δοτικήν. Ταχύνω, ἐπιταχύνω δὲ τὸ ἔργον, μεταβατικὸν εἰς αἰτιατικήν. Τελευτῶ, ἀντὶ τοῦ τέλος λαμβάνω. τελευτῶ δὲ τὸ ἔργον, μεταβατικὸν εἰς αἰτιατικήν. Τελῶ, τὸ ὑπάρχω, τελῶ τὸ ποιῶ. καὶ ἐπιτελῶ, τὸ τελειῶ, μεταβατικὸν εἰς αἰτιατικήν. ὡσαύτως καὶ τὸ τελῶ τὸ δίδωμι παρὰ Πλάτωνι, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Τένδω, τὸ ἐσθίω, ταῦτα δὲ μεταβατικὸν εἰς αἰτιατικήν. Τοξεύω, τὸ ἁπλῶς βέλος πέμπω. Τονθορύζω, τὸ ψιθυρίζω. Τρέχω ἐπὶ δρόμον. Τρέχω δὲ τὸν περὶ ψυχῆς. καὶ παρατρέχω, τὸ παρέρχομαι. καὶ κατατρέχω, τὸ ληΐζω, καὶ πορθῶ, μεταβατικὰ εἰς αἰτιατικήν.

ὡσαύτως καὶ τὸ περιτρέχω, καὶ συντρέχω. καὶ ἀποτρέχω, τὸ ὑπέρχομαι. καὶ ἀντιτρέχω, εἰς δοτικὴν, καὶ τὸ ἐκτρέχω, εἰς γενικήν.

Τρέω, τὸ φοβοῦμαι. Τρυφῶ, τὸ ἐν τρυφῇ διάγω. Τρυφῶ δὲ τοὺς λόγους, μεταβατικὸν εἰς αἰτιατικήν. ὡσαύτως καὶ τὸ ἐντρυφῶ, εἰς δοτικήν. καὶ τὸ κατατρυφῶ, εἰς γενικήν.

Τρώγω, τοῦτο δὲ μεταβατικὸν εἰς αἰτιατικήν. οἷον τρώγω ἄρτον. Τροχάζω, τὸ τρέχω.

Τυφλώττω, ἀντὶ τοῦ τυφλός εἰμι.

Τὰ μεταβαίνοντα εἰς γενικήν.

Τυγχάνω, καὶ ἐπιτυγχάνω, καὶ ἀποτυγχάνω. ἐντυγχάνω δὲ, καὶ περιτυγχάνω ἔν τινι τόπῳ, καὶ συντυγχάνω τὸ ἐρχόμενος συγκρούω τινὶ ἐρχομένῳ, εἰς δοτικήν. συντυγχάνω δὲ, ἀντὶ τοῦ ὑπάρχω, ἀμετάβατον.

Τυραννῶ, καὶ τυραννεύω.

Τὰ μεταβαίνοντα εἰς δοτικήν.

Τιμωρῶ, τὸ ἐκδικῶ. Ταλανίζω, τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Τιμωροῦμαι δὲ, τὸ κολάζω, εἰς αἰτιατικήν. Τίνω, καὶ ἐκτίνω, τὸ ἀποδίδωμι. καὶ τίω, καὶ ἀποτίω, τὸ αὐτὸ, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Τίω δὲ

τὸ

τὸ λιμῶ, καὶ τὸ τιμωροῦμαι, εἰς αἰτιατικήν.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Ταινιῶ, τὸ στεφανῶ. Ταλαντεύομαι τῇ γνώμῃ, ἀντὶ τοῦ διστάζω. Ταμιεύω. Ταπεινῶ. Ταράττω. Ταριχεύω. Ταρβῶ ποιητικῶς, τὸ φοβοῦμαι. Τάττω. Ἐντάττω, καὶ συντάττω, ἀπὸ αἰτιατικῆς εἰς δοτικήν.

Τέγγω, τὸ διὰ ὕδατος ἁπαλύνω. Τέθηπα, τὸ θαυμάζω. Τείνω, τὸ τανύω. Τείνω δὲ τὸ ἀφορῶ, διὰ μέσης προθέσεως. οἷον πρὸς τόδε τείνει.

Μετὰ προθέσεων.

Ἐκτείνω, τὸ ἐξαπλῶ. Ἐντείνω, τὸ ὑποδιδῶμι, καὶ τὸ τανύω. Ἐντείνομαι δὲ, τὸ βαστάζω. Ἐπιτείνω, τὸ ἐπαύξω. Παρατείνω. Κατατείνω, τὸ δαμάζω. Διατείνομαι, τὸ διαβεβαιῶ, καὶ τὸ μάχομαι. Τείρω, τὸ δαμάζω. Τεκμαίρομαι. Τειχίζω, καὶ ἀποτειχίζω, τὸ τείχει ἀποκλείω τὰ ἐξόδους. Ἐπιτειχίζω δὲ, ἀπὸ αἰτιατικῆς εἰς δοτικήν. Τεκταίνω, τὸ κατασκευάζω. Τέρπω, τὸ εὐφραίνομαι. Τέμνω, τὸ κόπτω, καὶ τὸ ἀφανίζω, καὶ τὸ κλαδεύω. ὡς τὸ τέμνει τὶς τὰς ἀμπέλους. Ἐκτέμνει δὲ, ἀντὶ τοῦ ἀφανίζει. καὶ κατατέμνω

τὴν

τὴν γῆν, ἤγουν κατασκάπτω, τουτέστιν ἀφανίζω. Τερσαίνω, τὸ ξηραίνω. Τεύχω, τὸ κατασκευάζω, ποιητικῶς. Τεχνῶμαι. Τεχνάζομαι, τὸ πονηρεύομαι. Τεχνίζομαι δὲ, τὸ μετὰ τέχνης ποιῶ. Τήκω, τὸ δαμάζω. Προστέτηκα δὲ τοῖς παθήμασιν, εἰς δοτικήν. Τηρῶ, τὸ φυλάττω. Τιθασσεύω, τὸ ἡμερῶ. Τιθηνῶ, τὸ τρέφω. Τίθημι. τίθεμαι δέ σοι, εἰς δοτικήν.

Μετὰ προθέσεων.

Συντίθημι λόγους, ἤγουν συντάττω, καὶ ποιῶ, καὶ συναρμόζω. Συντίθημι δὲ τὸ συναινῶ, καὶ συντίθεμαι τὸ ὁμολογῶ, εἰς δοτικὴν καὶ εἰς ἀπαρέμφατον. Μετατίθημι, τὸ μεταποιῶ. Ἀποτίθεμαι, τὸ ἐν φυλακῇ τίθεμαί τι, καὶ τὸ παραπέμπω. Προστίθημι, τὸ προκείνω. Ὑπερτίθημι, τὸ ἕνα πολλῶν ὑπεράνω τίθημι, εἴτε ἐπὶ ψόγου, εἴτε ἐπὶ ἐπαίνου. Διατίθημι, τὸ καθιστῶ, καὶ τὸ οἰκονομῶ. καὶ διατίθεμαι, τὸ πωλῶ. λέγεται δὲ ἡ λέξις κυρίως ἐπὶ διαθηκῶν. Ἐπιτίθεμαι δὲ, τὸ ἐπιβουλεύω. καὶ προσίθεμαι δέ σε, ἤγουν μετ' ἐμοῦ σε παραλαμβάνω. καὶ ἀνατίθεμαι, τὸ βαστάζω, καὶ τὸ ἀθετῶ, εἰς αἰτιατικήν. Ἀνατίθημι δὲ, καὶ ἐπιτίθημι τὴν ἐπιστολήν, ἤγουν

παραδί-

παραδίδωμι. καὶ ἀντιπαρατίθημι, τὸ ἀντεπιστέλλω. καὶ ἀντιτίθημι, τὸ ἐξισῶ, ἐξ οὗ καὶ τὸ ἀντίθετον, ἀντὶ τοῦ ἐξισωτόν. καὶ παρατίθημι, τὸ ἀντεξετάζω, ἐξ οὗ τὸ παράθες, ἀντὶ τοῦ ἐξέτασον, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. σὺν τούτοις καὶ τὸ ἀποτίθημι, τὸ εἰς ὑποθήκην τι δίδωμι, καὶ τὸ ὑποβάλλω, καὶ τὸ συμβουλεύω. ἀλλὰ περὶ τρίτης δὲ σημασίας τούτων, καὶ εἰς ἀπαρέμφατον. Τίλλω, τὸ ἀνασπῶ. Τίκτω, τὸ γεννῶ, κυρίως δὲ ἐπὶ γυναικῶν. τὸ δὲ γεννῶ, κυρίως ἐπὶ ἀνδρῶν. Τιμῶ, τὸ δοξάζω. Τιμῶ δὲ καὶ τιμῶμαι, τὸ τιμωρίαν ἐπιτίθημι, ἀπὸ δοτικῆς εἰς γενικήν. καὶ τιμῶμαι δὲ τὸ φίλον τοῦ παντός, καὶ προτιμῶ, ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Προτιμῶ δὲ τὸ φροντίζω, εἰς μόνην γενικήν. Τὸ μέντοι ἐπιτιμῶ, ὃ σημαίνει τὸ μέμφομαι, εἰς δοτικήν. τὸ δὲ ἀντὶ τοῦ δοξάζω, καὶ ἀντὶ τοῦ τιμωρίαν ἐπιτίθημι, εἰς αἰτιατικὴν παρ' Ἡροδότῳ. Τινάσσω. Τιτρώσκω. Τμίγω, τὸ διαχωρίζω. Τα νῦν τρίτης συζυγίας τῶν περισπωμένων.

Τρανῶ, καὶ διατρανῶ. Τραυματίζω. Τραχύνω. Τρέπω, καὶ τρέπομαι, τὸ αὐτό.

Μετὰ προθέσεων.

Προτρέπω, τὸ τὴν ἐμὴν γνώμην δίδωμι,

μι, καὶ παρακινῶ τινὰ εἰς τί. καὶ προτρέπομαι τὸν θεὸν, ἀντὶ τοῦ ἱκετεύω. Ἀποτρέπω, τὸ κωλύω. καὶ ἀποτρέπομαι, τὸ ἀπεύχομαι, καὶ ἀποδιοπομποῦμαι. Τρέφω, καὶ ἀνατρέφω. Τρέφομαι δὲ, εἰς δοτικήν. οἷον τρέφομαί σοι, ἤγουν ὑπὸ σοῦ. Τρίβω, καὶ ἀποτρίβομαι. Συντρίβω, τὸ εἰς χοῦν λεπτύνω. Ἐκτρίβω καὶ ἐντρίβω, τὸ ψιμμυθιῶ. τὸ δὲ διατρίβω τὸ καταγίνομαι, διὰ μέσης προθέσεως, εἰς αἰτιατικήν.

Τροποῦμαι, τὸ νικῶ. Τρυπῶ. Τρυγῶ. Τριβωνεύομαι, τὸ τεχνάζω. Τρύχω τὸ δαμάζω. καὶ κατατρύχω, τὸ αὐτό. Τρώγω. τοῦτο δὲ καὶ ἀπλικῶς εἰς γενικήν. Τιλίπτω, καὶ ἀναλιλίπτω. Τυμβεύω. Τύπτω. Τυπῶ, καὶ ἀνατυπῶ, ὃ καὶ ἀνατυποῦμαι. δηλοῖ δὲ τὸ φαντάζομαι ἃ ἑώρακα, καὶ ἃ μεμάθηκα.

Διατυπῶ, τὸ διατίθεμαι περὶ τὸ βέλτιον. Τυρβάω, τὸ μηχανῶμαι. Τυφλῶ, τρίτης συζυγίας τῶν περισπωμένων. Τυρβάζω κυρίως τὸ ὄχλον ταράττω. Τύφω, τὸ καίω. Τωθάζω, τὸ λοιδορῶ.

ΑΡΧΗ

ΑΡΧΗ ΤΟΥ Υ.

ΤΑ ΑΜΕΤΑΒΑΤΑ.

Υγιαίνω. τοῦτο δὲ καὶ μεταβατικὸν εἰς δοτικὴν, καὶ εἰς αἰτιατικήν. οἷον ὑγιαίνω τῷ σώματι, καὶ ὑγιαίνω τὸ σῶμα. ὑδῶ, ποιητικῶς, ἀντὶ τοῦ ὑμνεῖ. ὑλομανῶ. ὑλακτεῖ ὁ κύων. ὑπνομαχῶ, τὸ τὸν ὕπνον ἀποστρέφομαι. ὑπονομεύω, τὸ ὑπόνομον, ἤγουν ἀγωγὸν ὕδατος ὀρύττω. ὑπνῶ, συζυγίας τρίτης τῶν περισπωμένων, τὸ κοιμῶμαι. ὑπνώττω, τὸ αὐτό. ὑπτιάζω, καὶ ἐξυπτιάζω, τὸ ὕπτιος καὶ ῥάθυμος εἰμὶ, καὶ ὡσανεὶ ῥύπτομαι. ἧπαρ, τὸ σπλάγχνον, καὶ ὕπαρ, ἀντὶ τοῦ φανερῶς.

Τὰ μεταβαίνοντα εἰς γενικήν.

Υστερίζω, τὸ μετὰ μίαν ἡμέραν ἔρχομαι. ὑστερῶ, πρώτης συζυγίας τῶν περισπωμένων, τὸ αὐτό.

Τὰ μεταβαίνοντα εἰς δοτικήν.

Υπηρετῶ, καὶ ὑπηρετοῦμαι. ὑπουργῶ.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Υβρίζω, τὸ ἄτιμόν τι λέγω ἢ ποιῶ εἴς τινα, καὶ ἐξυβρίζω. ταῦτα δὲ καὶ διὰ μέσης τῆς, εἰς, προθέσεως. ὑγιάζω. ὑγραίνω. υἱοθετῶ. ὑμνῶ. ὑπισχνοῦμαι, τοῦτο δὲ καὶ εἰς

ἀπαρέμ

ἀπὸ ἔμφασιν. ὑποκρίζομαι, τὸ κολακεύω, καὶ τὸ εὐφήμως λέγω, παρὰ Δημοσθένει. ὑποπτεύω, τὸ ὑπονοῶ. ὑποπιάζω. ὑφαίνω. ὕψω, καὶ αὐξύψω.

ΑΡΧΗ ΤΟΥ Φ.

ΤΑ ΑΜΕΤΑΒΑΤΑ.



Φαίνω, τὸ λάμπω. Φεύγω, ἐπὶ ἐξορίας. Φεύγω δὲ φόνου, ἀντὶ τοῦ κατηγοροῦμαι, μεταβατικὸν εἰς γενικήν. καὶ φεύγω τὴν δίκην τήνδε. καὶ διαφεύγω, ὅταν λαθὼν οὐ κρατηθῶ, καὶ ὅταν κρατηθεὶς διολισθήσω. καὶ ἀποφεύγω, ὅταν νικήσας ἀπολυθῶ τῆς κατηγορίας. καὶ ἐκφεύγω, ὅταν κρατηθεὶς διολισθήσω, μεταβατικὰ εἰς αἰτιατικήν. τὸ μὲν γε προσφεύγω, εἰς δοτικήν. Φθίνω, τὸ φθείρω. Φιλοτιμοῦμαι. Φιλοσοφῶ, τὸ τὴν ἀληθῆ σοφίαν ἀσκῶ. Φιλοσοφῶ δὲ ἐντέλειαν, μεταβατικὸν εἰς αἰτιατικήν. Φλεγμαίνω. Φλυαρῶ. Φονῶ, τὸ φονικῶς πνέω. Φορμίζω, τὸ τῇ φόρμιγγι χρῶμαι. Φριμάσσεται ὁ τράγος, ὥσανεὶ παρνυμένος. Φρυάττεται ὁ ἵππος, ἤγουν φυσᾷ. Φρυγανίζομαι, τὸ φρύγανα συλλέγω. Φυσῶ, τὸ σφοδρῶς πνεῦμα πέμπω ἀπὸ τοῦ στόματος, καὶ ἀπὸ τούτου σημαίνει

νει, καὶ τὸ ἐπαίρομαι, καὶ τὸ ὀγκοῦμαι. τοῦτο δὲ καὶ μεταβατικὸν εἰς αἰτιατικήν. Φωνασκῶ, τὸ παιδεύομαι φωνὴν ἔχειν ἴσχυν.

Τὰ μεταβαίνοντα εἰς γενικήν.

Φείδομαι, τὸ ἀκριβολογοῦμαι, καὶ τὸ ἐλεῶ. Φροντίζω, καὶ ἐκφροντίζω, τὸ φροντίδα ἔχω. εὕρηται δὲ τοῦτο καὶ ἀντὶ τοῦ ἐννοῶ παρὰ Θουκυδίδῃ, εἰς αἰτιατικὴν συντασσόμενον.

Τὰ μεταβαίνοντα εἰς δοτικήν.

Φθονῶ, τοῦτο δὲ καὶ ἀπὸ δοτικῆς εἰς γενικήν. Φιληδῶ, τὸ πρόσκειμαι. Φιλοῦμαι. Φιλονεικῶ. Φιλοχωρῶ, καὶ ἐμφιλοχωρῶ, τὸ τὴν χώραν ἀγαπῶ. Φοιτῶ, ἀντὶ τοῦ φοιτητής εἰμι. τοῦτο δὲ καὶ διὰ μέσης προθέσεως εἰς αἰτιατικήν. οἷον φοιτῶ πρὸς τὸν διδάσκαλον. Φοιτῶ δὲ, τὸ πορεύομαι, εἰς αἰτιατικὴν διὰ μέσης προθέσεως. οἷον εἰς ᾅδην χριστὲ φοιτήσας, κόσμον ὅλον συνήγειρας. καὶ φοιτῶ, τὸ μαίνομαι, ἀμετάβατον.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Φάσκω τὸ λέγω. καταφάσκω δὲ, τὸ προλέγω καὶ ἐπινεύω, καὶ ἀποφάσκω, τὸ ἀπαγορεύω, ἢ τὸ ἀποφαντικῶς λέγω, εἰς αἰτιατικήν. Φθίνω, τὸ φθαίνω. Φανερῶ. Φθέγγο

καὶ κυρίως τῶν ἀνθρώπων. Φράζω, τὸ λέγω. Φράζομαι δὲ, ποιητικῶς τὸ νοῶ, εἰς μόνην αἰτιατικήν. Φωνῶ, τὸ λαλῶ.

Τὰ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν.

Φ Αγεῖν, ὥσπερ δὲ καὶ εἰς γενικὴν ἀττικῶς. Φαίνω, καὶ ἐμφαίνω, τὸ δείκνυμι. καὶ ἀποφαίνω, τὸ ἀποδεικνύω. ταῦτα δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. καὶ ἀποφαίνομαι, τὴν ἀπόφασιν καὶ ψῆφον ἐκφέρω. Φαιδρύνω, τὸ λάμπω. Φαυλίζω, καὶ ἐκφαυλίζω, τὸ φαῦλον ποιῶ. Φενακίζω, τὸ ἀπατῶ. Φέρω, τὸ βαστάζω, καὶ τὸ ἄγω, καὶ τὸ ὑπομένω. Φέρω δὲ τὸ ἐπάγω, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. φέρομαι, τὸ λαμβάνω καὶ ἔχω.

Μετὰ προθέσεων.

Εἰσφέρω, τὸ περὶ νόμους καταβάλλω. Ὑποφέρω, τὸ ὑπομένω. Ἐκφέρω, τὸ ἐκβάλλω, καὶ τὸ ὡς νεκρὸν ἐκβάλλω, καὶ ἐξάγω, καὶ καταφέρω. Ἐκφέρομαι δὲ, τὸ ἔξω φέρομαι. Καταφέρομαι, εἰς γενικήν. Ἀναφέρω, τὸ βαστάζω, καὶ τὸ ἀνάγω. Ἀναφέρω δὲ τὸ ἐκ πολλῆς ἀθυμίας, εἰς γενικήν. Μεταφέρω, τὸ μετακινῶ. Διαφέρω, τὸ ὑπομένω, καὶ τὸ διανύω, παρὰ Θουκυδίδῃ. Διαφέρω δὲ τὸ ὑπερφέρω, εἰς γενικήν.

κλῶ. διαφέρω δὲ, τὸ ἁρμόζω, καὶ ὠφέλειαν ἔχω. καὶ διαφέρομαι, καὶ ἀντιφέρομαι τὸ ἐναντιοῦμαι. Ὁ προσφέρομαι, καὶ ἐμφέρομαι, καὶ συμφέρομαι, εἰς δοτικήν. ἀποφέρομαι, τὸ πόῤῥω φέρομαι, εἰς γενικήν. Φηλῶ, τρίτης συζυγίας τῶν περισπωμένων, τὸ ἐξαπατῶ. φημίζω, ποτὲ δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. καὶ διαφημίζω, καὶ ἐπιφημίζω. Φθάνω, τὸ προλαμβάνω. φθάνω δὲ τὸ καταλαμβάνω, εἰς μετοχήν. οἷον οὐκ ἂν φθάνοις ἰών. φθείρω, τὸ ἀφανίζω, καὶ τὸ μεταβάλλω, καὶ διαφθείρω. Φιλῶ, τὸ ἐρῶ. ποτὲ μὲν δηλοῖ τὴν φιλικὴν διάθεσιν, ποτὲ δὲ τὴν σωματικὴν ἐνέργειαν. ποτὲ δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, καὶ ἀντιστρόφως. Φιλοφρονοῦμαι. Φλέγω. Φλογίζω. Φοβῶ, καὶ ἐκφοβῶ ἐστὶ, καὶ φοβοῦμαι ἐγώ. ποτὲ δὲ εἰς ἀπαρέμφατον. Φονεύω. Φοινίσσω, τὸ κοκκίνω, βάπτω. Φορύνω, τὸ μολύνω. Φορτίζω, καὶ ἐπιφορτίζω. Φράττω, ὅθεν φραγμοῦ. καὶ διαφράττω, τὸ ὀχυρὸν ποιῶ. Ἀντιφράττω δὲ, τὸ ἐμποδίζω, παρὰ Συνεσίῳ, εἰς δοτικήν. Φρίττω, ὅθεν φρίκης, ποτὲ δὲ καὶ εἰς ἀπαρέμφατον. Φρύττω, τὸ ἐν πυρὶ ξηραίνω. Φρονῶ.

Μετὰ προθέσεων.

Περιφρονῶ, καὶ ὑπερφρονῶ. ποτὲ δὲ καὶ

εἰς γενικήν. καταφρονῶ δὲ, ἀεὶ εἰς γενικὴν, καὶ ἅπαξ εἰς αἰτιατικὴν παρὰ Θουκυδίδῃ. τὸ μὲν δὴ παραφρονῶ, ὃ σημαίνει τὸ μαίνομαι, καὶ τὸ ἀνοηταίνω, ἁπλῶς ἀμετάβατον. Φρουρῶ, τὸ φυλάσσω. Φύω τρίχας, ἢ ὀδόντας. ἔστι δὲ ὅτε καὶ ἀμετάβατον, ὡς λέγομεν, αἱ τρίχες φύουσιν. Φυλάττω, τὸ τηρῶ. καὶ φυλάττομαι, ἀντὶ τοῦ φεύγω. ἔστι δὲ καὶ εἰς ἀπαρέμφατον. Φιλονεικῶ. φυγαδεύω. Φύρω, τὸ συγχέω, καὶ ἀναμιγνύω. φυτεύω, περὶ φυτῶν. Φυρῶ ἄρτους, ἐξ οὗ καὶ φύραμα. φωνῶ, καὶ ὑπερφωνῶ, καὶ καταφωνῶ. φωρῶ τὸ ὑπονοῶ, καὶ τὸ κλέπτοντα τινὰ καταλαμβάνω. οἷον ἐφωράθη τις κλέπτων, ἢ θάπτων σῶμα νεοσφαγὲς ἐπ' ἐρημίας, καὶ φόνου φεύγει. καὶ καταφωρῶ, τὸ κατάδηλον ποιῶ. Φωτίζω.

ΑΡΧΗ ΤΟΥ Χ.

ΤΑ ΑΜΕΤΑΒΑΤΑ.



Αίρω, τὸ εὐφραίνομαι. Χαίρω δὲ τῷδε τῷ πράγματι, ἀντὶ τοῦ πρὸς τέθηκα. καὶ ἐπιχαίρω, τὸ ἀπαγγέλω τοῖς ἀλλοτρίοις κακοῖς. καὶ συγχαίρω, τὸ συνήδομαι τοῖς ἀγαθοῖς, μεταβατικὰ εἰς δοτικήν.

Χαίνω. Χειμάζω. Χειμάζει τὴν πόλιν πᾶς δόλος, ἀντὶ τοῦ ταράττει, μεταβατικὸν

εἰς

εἰς αἰτιατικήν. ὡσαύτως καὶ τὸ χειμάζει τις ἐν τῷδε τῷ τόπῳ, ἤγουν τὸν χειμῶνα διαβιβάζει, εἰς δοτικὴν διὰ μέσης προθέσεως. Χορεύω, καταχορεύω δὲ, τὸ καταγελῶ, μεταβατικὸν εἰς γενικήν. Χρέμπτομαι. Χωλαίνω, ἀντὶ τοῦ χωλός εἰμι. Χωλεύω, τὸ αὐτό. Χωλεύω δὲ τὸν πόδα, μεταβατικὸν εἰς αἰτιατικήν.

Τὰ μεταβαίνοντα εἰς γενικήν.

Χειραπτῶ παρὰ τῇ θείᾳ γραφῇ, τὸ κρατῶ. Χρῄζω, τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον.

Τὰ μεταβαίνοντα εἰς δοτικήν.

Χαρίζομαι, τὸ δωροῦμαι, καὶ τὸ χάριν ποιῶ. Χαλεπαίνω. Χολοῦμαι, τὸ ὀργίζομαι. Χορηγῶ δὲ, τὸ ἀπ' ἐμαυτοῦ καὶ χωρὶς ἀνάγκης χρήματα καταβάλλω, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Χρῶ, τὸ μαντείαν δίδωμι. τοῦτο δὲ καὶ εἰς ἀπαρέμφατον. Χρῶ δὲ τὸ δανείζω, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Χρῶμαι, ἐπὶ χρείας. καὶ καταχρῶμαι, καὶ ἀποχρῶμαι. καὶ ἀποχρῶ, τὸ ἀρκῶ. ἰστέον ὅτι τὸ χρηματίζω, ἀντὶ τοῦ διαλέγομαι, ἀπὸ ὑπερέχοντος προσώπου εἰς ἐλάττονα λέγεται. Χρηματίζω, τὸ χρηματισμοὺς δίδωμι, καὶ διαλέγομαι, καὶ τὸ ὑπάρ-

χω. ἢ χρηματίζομαι, τὸ χρήματα συλλέγω. Ταῦτα δὲ καὶ ἀμεταβάτως νοεῖσθαι δύνανται.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

ΧΑλῶ, τὸ ἐνδίδωμι. Χαλινῶ, τὸ χαλινὸν ποιῶ. Χέω, καὶ διαχέω, τὸ διακεχυμένον ποιῶ, ἐξ οὗ διαχέεται ἡ ψυχὴ, ὅταν ἐλευθεριάζῃ, ἤγουν ὅταν χαίρῃ. Περιχέω δὲ, καὶ καταχέω, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. ἔστι δὲ τὸ καταχέω, καὶ ἀπὸ γενικῆς εἰς αἰτιατικήν.

Χειραγωγῶ. Χειρίζω, ἄχρηστον, ἐν χρήσει δὲ μετὰ προθέσεων, οἷον διαχειρίζω, τὸ διοικῶ. διαχειρίζομαι, τὸ φονεύω. προχειρίζομαι, μεταχειρίζομαι, ὃ καὶ μεταχειρίζω, τὸ ἀφεὶς ἕτερον, λαμβάνω εἰς χεῖρας ἕτερον. καὶ ἐγχειρίζω τόδε τὸ πρᾶγμα, ἀντὶ τοῦ εἰς χεῖρας δίδωμι. ἔστι δὲ καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Χειροτονῶ.

Χειροῦμαι, τὸ ὑπὸ τὴν χεῖρα μου ποιῶ τι. Ἐγχειρῶ δὲ τὸ ἔργον, ἤγουν τινὸς ἔργου ἅπτομαι, καὶ ἐπιχειρῶ τοῖς πολεμίοις, εἰς δοτικήν. Χηρῶ, τὸ στερίσκω. Χλευάζω, τὸ λοιδορῶ. Χλιαίνω, τὸ μήτε λίαν θερμὸν, μήτε πάλιν ψυχρὸν περιεστῶς ποιῶ. Χραίνω, τὸ μολύνω. Χρίω, τὸ ἀλείφω. καὶ ἐγχρίω, τὸ αὐτό. λέγεται δὲ ἐπὶ σκορπίων, ἢ σφηκῶν, ἢ τοιούτων τινός. Χρώζω, τὸ βάπτω.

πτω. χρωματίζω, τὸ αὐτό. Χρῆ ἀντὶ τοῦ πρέπει, εἰς ἀπαρέμφατον. χωρίζω, καὶ διαχωρίζω, καὶ ἀναχωρίζω, ἀντὶ τοῦ ἀναχωρεῖν ποιῶ. Χωρεῖ τὸ ἀγγεῖον τόδε τι. Χωρῶ, τὸ παραγίνομαι, διὰ μὲν τῆς προθέσεως. οἷον, χωρῶ πρὸς τὸ ἔργον. ὡσαύτως καὶ τὸ ἀναχωρῶ, καὶ ἀποχωρῶ. ταῦτα δὲ καὶ εἰς γενικὴν ἀμέσως, ἤγουν χωρὶς προθέσεως. τὸ δὲ ἐξαναχωρῶ, ὃ σημαίνει τὸ ἐκφέρομαι, καὶ τὸ παραβαίνω παρὰ Θουκυδίδῃ, εἰς αἰτιατικήν, καὶ αὐτὸ ἀμέσως. Συγχωρῶ δὲ, τὸ ἀφίημι ἑκών, ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. τὸ μέν τοι παραχωρῶ, ὃ σημαίνει τὸ μεθίσταμαι ἄκων, καὶ τὸ ὑποχωρῶ, ἀπὸ δοτικῆς εἰς γενικήν. τοῦτο δὲ τὸ ὑποχωρῶ, καὶ εἰς ἀπαρέμφατον. τὸ δὲ ἐκχωρῶ, ἀμετάβατον, ἀντὶ τοῦ ἔξω γίνομαι, ἢ πορεύομαι.

ΑΡΧΗ ΤΟΥ Ψ.

ΤΑ ΑΜΕΤΑΒΑΤΑ.



Ἄλλω. τοῦτο δὲ καὶ μεταβατικὸν εἰς δοτικήν, καὶ εἰς αἰτιατικήν. οἷον ψάλλω τῷ θεῷ μου. καὶ ψάλλω τὴν ᾠδήν. ψεύδομαι. τοῦτο δὲ καὶ μεταβατικὸν εἰς αἰτιατικήν. οἷον ψεύδομαί σε. τὸ δὲ διαψεύδομαι, τὸ ἀποτυγχάνω, καὶ κατα-

ψεύδομαι, ἀεὶ μεταβατικὰ εἰς γενικήν. ὥσπερ δὲ τὸ καταψεύδομαι, καὶ εἰς αἰτιατικὴν, καὶ ἀπὸ γενικῆς εἰς αἰτιατικήν. Ψυχοραγῶ. Ψωριῶ.

Τὰ μεταβαίνοντα εἰς γενικήν.

ΨΑύω, ὥσπερ δὲ καὶ εἰς αἰτιατικήν. ὡσαύτως καὶ τὸ παραψαύω. Προσψαύω δὲ, τὸ οὐκ ἀκριβῶς ψαύω, ἀλλὰ πεφεισμένως, ἤγουν ἀκριβολογουμένως, καὶ οἱονεὶ ἄκροις δακτύλοις, εἰς δοτικήν.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

ΨΈγω. Ψηλαφῶ. Ψηλαφίζω, τὸ λογισμοῦ. καὶ τὸ ψηφίζω, ἀντὶ τοῦ μαρτυρα καλῶ, ἐφ' οἷς λέγω παρὰ Πλάτωνι. καὶ τὸ ψηφίζω, τὸ ἐπικρίνω. Ἐπιψηφίζομαι δὲ, τὸ βεβαιῶ, εἰς δοτικήν. τὸ μὲν γὰρ ἀποψηφίζομαι, καὶ καταψηφίζομαι, εἰς γενικήν. ὥσπερ δὲ τὸ καταψηφίζομαι, καὶ ἀπὸ γενικῆς εἰς αἰτιατικήν. Ψύχω. Ψιλῶ τρίτης συζυγίας τῶν περισπωμένων, καὶ σημαίνει τὸ γυμνῶ. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Ψύχω, καταψύχω. Ἀποψύχω, τὸ ἀποθνήσκω, ἀμετάβατον. τοῦτο δὲ παρὰ τοῖς κωμικοῖς, καὶ ἀντὶ τοῦ ἀποπέρδω τάττεται. Ψυχαγωγῶ, τὸ παραμυθοῦμαι. Ψυχραίνω. Ψωμίζω τὸ τρέφω. Ψῶ, καὶ καταψῶ, τὸ τῇ χειρὶ ὁμαλίζω.

ἈΡΧΗ͂ ΤΟΥ͂ Ω.

ΤᾺ ἈΜΕΤΆΒΑΤΑ.



Ω Δίνω, τὸ ἐγκυμονῶ. Ὠρακιῶ, τὸ λειποψυχῶ. Ὠρύεται, ὁ λέων. Ὠτακουστῶ, τὸ τὰ κρύφια μανθάνω διὰ πόνων. Ὠχριῶ.

Τὰ μεταβαίνοντα εἰς αἰτιατικήν.

Ω Θῶ, καὶ πτώθω, τὸ χόρσιν ἀπωθῶ. Ὠθῶ πρώτης συζυγίας τῶν περισπωμένων. καὶ ὠθοῦμαι τὸ αὐτό. καὶ ἀπωθοῦμαι, καὶ διωθοῦμαι, τὸ ἀποδιώκω. ταῦτα δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Ὠνοῦμαι, τὸ ἀγοράζω. τοῦτο δὲ καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Ὡραιῶ, τὸ ὡραΐζω. Ὡραΐζω τὸ καλλωπίζω. Ὠφελῶ. τοῦτο δὲ καὶ εἰς δοτικὴν ἅπαξ παρὰ Θουκυδίδῃ καὶ τοῖς ποιηταῖς.

ΤΕΛΟΣ.

DE INCLINATIS ET ENCLITICIS, ET SYNENCLITICIS.



Nclinata dictio dicitur, quæ in fine acutum habet tonũ, quẽ in cõtextu orationis cõuertit in grauem. ut, μηδὲν γὰρ ὑγιὲς ἀδελφός μου ποιεῖ.

Enclitica est, quę præcedentem syllabam grauem acui facit, & tonũ suum in eam reijcit, cui uel potestate, uel natura alia grauis adiacet: potestate, ut δῶμα τέ μοι: natura, ut ἀρκεσίλαός τε.

Synencliticæ uerò, sunt quando plures encliticæ coniunguntur, ut ἤ νύ σέ πού δεός ἴσχει. ubi semper una post aliam acuitur. ἤ propter νύ, νύ propter σέ, σὲ propter πού.

REGVLAE DE ENCLITICIS.

Prima. Enclitica acutũ suum tonum remittit in adiacentem grauem in proparoxy-

paroxytonis & properiſpomenis, ut ἀρκεσίλαός τε, σκῶλόν τε, δῆλόν τε.

Secunda in periſpomenis & oxytonis non habet proprium ſignum toni, ſed amittit, ut μυσῶν τε, ἀδελφός γε.

Tertia in penacutis ſi fuerit trocheꝰ, reijcit tonum in proximam grauem, ut φῦλλά τε. Si autem fuerit ſpondeus, uel iambus, uel pyrrichius, ſicut in oxytonis & circumflexis, ſignum toni ſui non retinet, ſed omnino amittit, niſi ſequatur pronomen, quod incipiat à σφ, tunc enim in pedibus illis tribus habet, ſicut in trochæo, ut ἀρεάδης τε, ἄναξ τε. ὅτι οἱ, ἀτρεάδής σφισι, πολλάκις σφέας.

Differt inclinatū ab enclitico in hoc, quod inclinatum ſuum ipſius tonum acutum in fine mutat in grauē, in contextu orationis. ut, ἀδελφὸς ἀδελφὸν φιλεῖ, Encliticū uerò ſubdit illi cui tonū ꝓpriū & ſuijpſiꝰ inclinat. ut, ἦλθέ τις. ἤκουσά σου. In omnib. partib. orationis inueniunt enclitice dictiones, exceptis articulis, & participijs, & prepoſitionibꝰ.

DE

DE NOMINIBVS.

Ex nominibus unum tantum inuenitur, τίς, cum ſuis obliquis omnibus & æquiualentibus, quando indefinite capitur. ut, εἰ μέν τις ὄνειρον, μή τινος, οὔ τινι κοιμηθεῖσα. οἵτινες. τινὸς æquipollet τεῦ, & τινὶ, τῷ. ut, ἤκουσά του, δέδωκά τῳ. Cum uerò interrogatiue accipitur τίς, nō eſt encliticum, ideò ſemper acuitur in contextu orationis etiam in obliquis.

DE PRONOMINIBVS.

Pronomina quædam ſunt ὀρθοτονούμενα, quædam ἐγκλιματικαί. ὀρθοτονούμενα ſunt quæ non patiūtur enclisim. ἐγκλιματικὰ uerò, quæ enclisim admittunt. ἐγκλιματικῶν aliqua ſemper ſunt enclitica, aliqua uerò non. Semper enclitica ſunt hęc: μεῦ, μου, μοι, σοι, με, μιν, σφιν, σφε, σφωε, niſi cum ponūtur cum ἕνεκα, aut præpoſitione, aut cōiunctione diſiunctiua, tunc ſeruant tonum. ut, ἕνεκα σοῦ, ἕνεκα ἐμοῦ, διὰ σὲ, περὶ σοῦ, κατὰ μὲ, ἢ μὲ, & ἢ ἐμέ. Alia quæ nunc enclitica, nunc ue-

rò

rò minime, sunt hęc: σου, σεο, σε, σου, σοι, σε, εὗ, οἷ, ἕθεν, σφι, σφω, σφισι, σφεας. Enclitica sunt cũ absolute dicunt̃, & non ad aliam personam referuntur. Enclitica autem non sunt, cum per appositionẽ ad aliam personam enunciantur. σφω cum tertiæ est personæ, enclitica est, cũ secundæ, non est enclitica. Pronomina quæ sunt tertiæ personæ singularis uel pluralis numeri, quando solũ uim suam dicunt, sunt enclitica: si autem dicãt & locum, non sunt enclitica. Item, si ex sup̃fluo adijciantur, sunt enclitica.

DE VERBIS.

Ex uerbis εἰμὶ & φημὶ inclinantur. ut, καλός εἰμι. τόσσον ἐγώ φημι πλέας ἔμμεναι. huius secunda persona φῆς non inclinatur. Ἔστι quando orationẽ incipit, uel negationi subijcit̃, οὐ, οὐκ, uel ὡς, uel τοῦτο, uel εἰ, uel ἀλλὰ, uel καὶ, tum habet tonum super ε, ut ἔστι τοῦτ᾽ ἀληθὲς ὃ λέγεις. οὐκ ἔστιν. ὡς ἔστιν κακὸν ἀμαθία. τοῦτ᾽ ἔστι ἀγαθὸν, quod & per aduerbium dicitur τουτέστι, εἰ ἔστιν οὕτως. ἀλλ᾽ ἔστιν. καὶ ἔστιν. Si uerò subiun-

ſubiungitur dictioni oxytonæ uel periſpomenæ, amittit tonum prorſus. ut, θερμός ἐστι. ἑρμῆς ἐστι. Quod ſi dictioni paroxytonę ſubiungatur, ſiue illa trocheus ſiue iambus, ſiue pyrrichius, ſiue ſpondeus, tunc cadet tonus ſuper poſteriorem ſyllabam ἐστίν. φύλλα ἐστίν, γέλως ἐστίν, πόνος ἐστίν, ἄλως ἐστίν. Si autẽ ἐστι ſequatur dictionem proparoxytonam uel properiſpomenam, tum reijcit tonum in pręcedentem grauem, niſi properiſpomena habeat ultimam longam poſitione, tum tonus cadet ſuper ultimã ἐστί: ut, ἄνθρωπός ἐστι, οἶκός ἐστι, φοῖνιξ ἐστίν, κῆρυξ ἐστί. eadem ratio eſt in condeclineis eius εἰσι, ἐστε.

DE ADVERBIIS.

Ex aduerbijs ſunt encliticæ, πη, πως, πω, πυ, ποθεν, ποθι, ποτε, quando ſcilicet indefinite dicuntur: ut, ἦλθές πη, ἦλθές πως. ἦλθέ πυ, ἦλθές ποθεν, ἔγραψάς ποτε, καί ποθι. quod ſi quæſitiue proferãtur, tum grauantur.

DE CONIVNCTIONIBVS.

Ex coniunctionibus autem encliticæ aliæ copulatiuæ sunt, scilicet κε, κεν, τε: ut, καί κε τὸ βουλοίμεθα, καί κεν ἐλαφρότερος, καί τε θεοὶ ξενόισι. Alię impletiuæ, γε, γαρ, νυ, περ, θην, νυν, πȣ, ρα, quod ab ἄρα deriuatur. ἄρα autem non inclinatur, sicut nec pronomina, quę ε à principio habent, nisi id abijciant.

FINIS.

BASILEAE, PER BALTHASAREM LASIVM, MENSE MARTIO, ANNO M. D. XXXIX.




VITTORIO
BIBLIOTEC

